ALS EJ OMK 1 ante λόγων add σου S m 2 γὰρ: δὲ b post ἐχθρῶν add ἡμῶν b v 4 ante μηδὲ add καὶ OMK ἀνταίρειν E m: ἀντερεῖν cet v 5 πονηρῷ τούτῳ b v: πονηροτάτῳ libri m τῷ (post ὅπλῳ) b v m: om libri διὰ b v syr: δι' αὐτῆς libri m 6 ἀκμὴν b v εἰσωθοῦσι OMK, εἰσωθεῖ syr 7 τὴν ἀλήθειαν: τὸ δίκαιον vel τὸ ὀρθὸν syr ἐνεκέλευες b, ἐνεκελεύου v 8 πολὺ J παρβλαβεῖ O, παραβλεῖ O^2 9 κατευημεροῦντες AL (-τος b) 10 αἰσοποιῶ AL (αισωπείῳ b) 11 οἱ: εἰς AL (ὁι b) 12 γὰρ b v m: om libri προφέρειν om ALS (add b) 13 τὸ AL E v m: τῷ S J OMK, 14 ἀρνὸς OMK v m, ἀρνοῦ b 15 διαλύσαντος S 16 τοῦ λύκου L, corr L^1 (τὸν λύκον b, sed rursus deletum) 19 ante τάχα add γὰρ OMK τῷ (ut vid) J, corr J^2, om O 19/20 καθ' ἡμῶν om syr 21 μὲν S M syr v m: om cet ante ἄλλο add τὸ b καὶ syr b v m: om cet

ἐγκλήματος ἀποσεισθῶσιν, ἑτέρῳ προσφύονται καὶ ἀπ' ἐκείνου πάλιν καταλαμβάνουσιν ἕτερον· κἂν πάντα διαλυθῇ τὰ ἐγκλήματα, τοῦ μισεῖν οὐκ ἀφίστανται. τρεῖς θεοὺς πρεσβεύεσθαι παρ' ἡμῶν αἰτιῶνται καὶ περιηχοῦσι τὰς ἀκοὰς τῶν πολλῶν καὶ πιθανῶς κατασκευάζοντες τὴν διαβολὴν ταύτην οὐ παύονται. ἀλλ' ὑπερμάχεται ἡμῶν ἡ ἀλήθεια καὶ ἐν κοινῷ πρὸς πάντας καὶ ἰδίᾳ πρὸς τοὺς ἐντυγχάνοντας δεικνύντων ἡμῶν ὅτι ἀναθεματίζεται παρ' ἡμῶν πᾶς ὁ τρεῖς λέγων θεοὺς καὶ οὐδὲ Χριστιανὸς εἶναι κρίνεται. ἀλλ' ὅταν τοῦτο ἀκούσωσι, πρόχειρος αὐτοῖς καθ' ἡμῶν ὁ Σαβέλλιος
73 M. καὶ ἡ ἐξ ἐκείνου νόσος ἐπιθρυλλεῖται τῷ ἡμετέρῳ λόγῳ. καὶ πάλιν καὶ πρὸς τοῦτο ἡμεῖς τὸ σύνηθες ὅπλον, τὴν ἀλήθειαν, προβαλλόμεθα δεικνύντες, ὅτι ἐπίσης τῷ Ἰουδαϊσμῷ καὶ τὴν τοιαύτην αἵρεσιν φρίττομεν.

Τί οὖν; ἆρα μετὰ τοσαύτας ἐγχειρήσεις ἀποκαμόντες ἡσύχασαν; οὐκ ἔστι ταῦτα· ἀλλὰ καινοτομίαν ἡμῖν προφέρουσιν, οὕτως τὸ ἔγκλημα καθ' ἡμῶν συντιθέντες· τρεῖς ὑποστάσεις ὁμολογοῦντας μίαν ἀγαθότητα, μίαν δύναμιν καὶ μίαν θεότητα λέγειν ἡμᾶς αἰτιῶνται. καὶ οὐκ ἔξω τοῦτο τῆς ἀληθείας φασί· λέγομεν γάρ. ἀλλ' ἐγκαλοῦντες τοῦτο προφέρουσιν, ὅτι ἡ συνήθεια αὐτῶν τοῦτο οὐκ ἔχει καὶ ἡ γραφὴ οὐ συντίθεται. τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; οὐ νομίζομεν δίκαιον εἶναι τὴν παρ' αὐτοῖς ἐπικρατοῦσαν συνήθειαν νόμον καὶ κανόνα τοῦ ὀρθοῦ ποιεῖσθαι λόγου. εἰ γὰρ ἰσχυρόν ἐστιν εἰς ὀρθότητος ἀπόδειξιν ἡ συνήθεια, ἐξέσται καὶ ἡμῖν

18 cf Quod non sint tres dei p 55, 16 sq

ALS EJ OMK 6 ἀλλ' ὑπερμάχεται: ὑπερμαχεῖται δὲ E, ὑπερμάχεσθαι A 7 ante πάντας add τοὺς b 8 ἀνατεθεμάτισται b v 9 κρίνεται J b v: λέγεται cet 10 προχείρως AL syr 11 ἡ om ALS (add b) ἐπιθρυλεῖται S E 12 καὶ πάλιν καὶ b: πάλιν καὶ J syr v, καὶ πάλιν OMK, πάλιν cet m 14 φριττόμενοι L, corr L², post φρίττομεν add καὶ φεύγομεν M² in marg (var lect) 15 τοσαύτης ἐγχειρήσεως AS ἀποκάμνοντες b 17 οὑτωσὶ b v m 18 ὁμολογούντων b v post ἀγαθότητα add καὶ E b v m 20 φασι coll post τοῦτό (19) v 21 προσφέρουσι A 24 νόμιμον E ἰσχυρότερον AS 25 ὀρθότητος ἀπόδειξιν: ὀρθότητα λόγου O, ἀπόδειξιν ὀρθότητος b v ἔξεστι b v

πάντως ἀντιπροβάλλεσθαι τὴν παρ' ἡμῖν ἐπικρατοῦσαν συνήθειαν· εἰ δὲ παραγράφονται ταύτην ἐκεῖνοι, οὐδὲ ἡμῖν πάντως ἐπακολουθητέον ἐκείνοις. οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω γραφή, καὶ παρ' οἷς ἂν εὑρεθῇ τὰ δόγματα συνῳδὰ τοῖς θείοις λόγοις, ἐπὶ τούτους ἥξει πάντως τῆς ἀληθείας ἡ ψῆφος. τί οὖν ἐστι τὸ ἔγκλημα; δύο γὰρ κατὰ ταὐτὸν ἐν τῇ κατηγορίᾳ τῇ καθ' ἡμῶν προενήνεκται· ἓν μὲν τὸ διαιρεῖν τὰς ὑποστάσεις, ἕτερον δὲ τὸ μηδέν τι τῶν θεοπρεπῶν ὀνομάτων πληθυντικῶς ἀριθμεῖν, ἀλλὰ μίαν (καθὼς εἴρηται) τὴν ἀγαθότητα καὶ τὴν δύναμιν καὶ τὴν θεότητα καὶ πάντα ταῦτα μοναδικῶς ἐξαγγέλλειν. πρὸς μὲν οὖν τὴν διαίρεσιν τῶν ὑποστάσεων οὐκ ἂν ἔχοιεν ἀλλοτρίως οἱ τὴν ἑτερότητα τῶν οὐσιῶν ἐπὶ τῆς θείας δογματίζοντες φύσεως·
74 M. οὐ γὰρ εἰκός ἐστι τοὺς τρεῖς λέγοντας οὐσίας μὴ καὶ τρεῖς πάντως ὑποστάσεις λέγειν. οὐκοῦν τοῦτο μόνον ἐστὶν ἐν ἐγκλήματι, τὸ τὰ ἐπιλεγόμενα τῇ θείᾳ φύσει ὀνόματα μοναδικῶς καταγγέλλειν.

Ἀλλ' ἕτοιμος ἡμῖν πρὸς τοῦτο καὶ σαφὴς ὁ λόγος. ὁ γὰρ καταγινώσκων τῶν μίαν λεγόντων θεότητα ἐξ ἀνάγκης ἢ τῷ πολλὰς λέγοντι ἢ τῷ μηδεμίαν συνθήσεται· οὐ γάρ ἐστι δυνατὸν ἕτερόν τι παρὰ τὸ εἰρημένον ἐπινοῆσαι. ἀλλ' οὐδὲ πολλὰς λέγειν συγχωρεῖ ἡ τῆς γραφῆς διδασκαλία, εἴ που καὶ μέμνηται, μοναχῶς τῆς θεότητος μνημονεύουσα·

ALS EJ OMK 1 ἀντιπροβάλλεσθαι OMK v m: ἀντιπροβαλέσθαι cet post ἡμῖν add πάντως AL 1/3 ἀντιπροβ. . . . πάντως: 'hec o(mn)ia deerant in impresso' b 3 ἐπακολουθητέον ALS: ἀκολουθητέον cet b v m 4 διαιτήσατο J, corr J^2 5 τούτους OMK v m: τούτοις ceteri 6/7 καταυτὸν A 7 τῇ post ἐν add ALS v m: om cet ἓν μὲν om L (add b) μὲν om A 8 μηδέν τι ALS syr m: μηκέτι μηδὲν cet v, 'τι deerat in impresso' b 9 ὀνομάτων: ἀξιωμάτων K προείρηται b v 10 καὶ τὴν δύναμιν καὶ τὴν θεότητα om ALS E (add b), cf 5, 18 11 ταῦτα syr: τοιαῦτα AL (τὰ add b), τὰ τοιαῦτα cet v m 14 καὶ om J syr 15 πάντως: 'deerat in impresso' b, om v ἐν om A 16 ἐγκλήμασι E 18 ὁ ante γὰρ: οὐ OMK, corr O^2M^2 20 ἢ pr om b v 21 ἐννοῆσαι J 22 οὐδὲ corr Jaeger: οὔτε libri post λέγειν add ἡ θεόπνευστος b ἡ τῆς γραφῆς: 'om impr' b ἡ θεόπνευστος συγχωρεῖ διδασκαλία v 23 εἴ: ἢ ALS (εἰ b)

Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος, καὶ ἑτέρωθι Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. εἰ οὖν εἰς πλῆθος ἐκτείνειν τὸν ἀριθμὸν τῶν θεοτήτων μόνων τῶν τὴν πολύθεον πλάνην νενοσηκότων ἐστί, τὸ δὲ καθόλου ἀρνεῖσθαι τὴν θεότητα τῶν ἀθέων ἂν εἴη, τίς λόγος ἐστὶν ὁ διαβάλλων ἡμᾶς ἐπὶ τῷ μίαν ὁμολογεῖν τὴν θεότητα; ἀλλ' ἐκκαλύπτουσι φανερώτερον τὸν τοῦ λόγου σκοπὸν ἐπὶ μὲν τοῦ πατρὸς καταδέχεσθαι τὸ θεὸν εἶναι καὶ τὸν υἱὸν ὡσαύτως τιμᾶσθαι τῷ τῆς θεότητος ὀνόματι συντιθέμενοι, τὸ δὲ πνεῦμα πατρὶ καὶ υἱῷ συναριθμούμενον μηκέτι καὶ τῇ τῆς θεότητος ἐννοίᾳ συμπεριλαμβάνεσθαι, ἀλλ' ἐκ τοῦ πατρὸς μέχρι τοῦ υἱοῦ ἱσταμένην τὴν τῆς θεότητος δύναμιν ἀποκρίνειν τῆς θεϊκῆς δόξης τὴν φύσιν τοῦ πνεύματος. οὐκοῦν ἀπολογητέον καὶ ἡμῖν, ὡς ἂν οἷοί τε ὦμεν, διὰ βραχέων καὶ πρὸς ταύτην τὴν ἔννοιαν.

Τίς οὖν ὁ ἡμέτερος λόγος; παραδιδοὺς ὁ κύριος τὴν σωτήριον πίστιν τοῖς μαθητευομένοις τῷ λόγῳ, τῷ πατρὶ καὶ
75 M. τῷ υἱῷ συνάπτει καὶ τὸ πνεῦμα τὸ ἅγιον· τὸ δὲ συνημμένον ἅπαξ διὰ πάντων φαμὲν τὴν συνάφειαν ἔχειν, οὐ γὰρ ἔν τινι συντεταγμένον ἐν ἑτέροις ἀποσχοινίζεται. ἀλλ' ἐν τῇ ζωοποιῷ δυνάμει, καθ' ἣν ἐκ τοῦ φθαρτοῦ βίου εἰς ἀθανασίαν ἡ φύσις ἡμῶν μετασκευάζεται, συμπαραληφθεῖσα ἡ τοῦ πνεύματος δύναμις πατρὶ καὶ υἱῷ καὶ ἐν πολλοῖς ἑτέροις, οἷον ἐν τῇ κατὰ τὸ ἀγαθὸν ἐννοίᾳ καὶ τὸ ἅγιόν τε καὶ ἀΐδιον, σοφόν, εὐθές, ἡγεμονικόν, δυνατὸν καὶ πανταχοῦ δηλονότι τὸ ἀχώριστον ἔχει ἐν πᾶσι τοῖς πρὸς τὸ κρεῖττον ὑπειλημ-

10 Col 2, 9 11 Rom 1, 20 18 Matth 28, 19

ALS EJ OMK 5 μόνον syr v 6 τῶν ἀθέων b v m: ἄθεον S, ἀθῶον AL, ἀθέων cet 7 ὑμᾶς b τῷ: τὸ A, corr A² 8 ἀλλ' ἐκκαλύπτουσι: ἀλλὰ καλύπτουσι syr 9 καταδεχόμενοι syr τὸ: τὸν AL v 12 τῇ: τὴν L (τῇ b) ἔννοια L, corr L² 12 συμπαραλαμβάνεσθαι E OMK b v m 13 τοῦ ante πατρὸς om v verba τὴν — 14 ἀποκρίνειν om ALS (add b) ἀποκρίνουσι syr 20 ante ἔν add τὸ ALS 22 ἐκ: ἡ JMK ἀθανασίας E, ἀφθαρσίαν (ut vid) syr 24 ante πνεύματος add ἁγίου S 26 δυνατὸν om S

μένοις ὀνόμασιν. οὐκοῦν ἡγούμεθα καλῶς ἔχειν τὸ ἐν τοσαύταις ἐννοίαις ὑψηλαῖς τε καὶ θεοπρεπέσι συναπτόμενον πατρὶ καὶ υἱῷ ἐν οὐδενὶ διακεκρίσθαι νομίζειν. οὐδὲ γὰρ οἴδαμεν ἔν τινι τῶν περὶ τὴν θείαν φύσιν ἐπινοουμένων ὀνομάτων τὴν κατὰ τὸ κρεῖττον καὶ χεῖρον διαφοράν, ὡς εὐαγὲς εἶναι οἴεσθαι τὴν ἐν τοῖς καταδεεστέροις τῶν ὀνομάτων κοινωνίαν συγχωροῦντας τῷ πνεύματι τῶν ὑπεραιρόντων κρίνειν ἀνάξιον. πάντα γὰρ τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν· οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν ἡ τοῦ ἀγαθοῦ προσηγορία, ἐφ' ἕτερον δὲ ἡ τοῦ σοφοῦ καὶ τοῦ δυνατοῦ καὶ τοῦ δικαίου· ἀλλ' ὅσαπερ ἂν εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον, κἂν θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας. εἰ δὴ πάντα τὰ ὀνόματα <τὰ> τῇ θείᾳ φύσει ἐπιλεγόμενα ἰσοδυναμεῖ ἀλλήλοις κατὰ τὴν τοῦ ὑποκειμένου ἔνδειξιν, ἄλλα κατ' ἄλλην ἔμφασιν ἐπὶ τὸ αὐτὸ τὴν διάνοιαν ὁδηγοῦντα, τίς ὁ λόγος τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι
76 M. κοινωνίαν πρὸς πατέρα τε καὶ υἱὸν συγχωροῦντας τῷ πνεύματι μόνης ἀλλοτριοῦν αὐτὸ τῆς θεότητος; ἀνάγκη γὰρ πᾶσα ἢ καὶ ἐν τούτῳ διδόναι τὴν κοινωνίαν ἢ μηδὲ τὴν ἐν τοῖς λοιποῖς

ALS EJ OMK 1 post ὀνόμασιν add καὶ τὴν συνάφειαν b (i.e. γρ. καὶ τ.σ., varia lectio pro τὸ ἀχώριστον) 3 ἀποκεκρίσθαι OMK 3/4 οἴδαμεν ἔν τινι syr: οἴδαμέν τινα libri v m 5 ante χεῖρον add τὸ b v m ('deest in impresso' add b) 6 τῶν ὀνομάτων om S 7 συγχωροῦντες J 8 ἄξιον OMK, corr K², οὐ supra ἄξιον add O² νοήματά τε καὶ ὀνόματα b v 9 τῷ: τὸ A 10 διαφορεῖν b 11 ante προσηγορία add ἡ b, τοῦ ἀγαθοῦ ἡ προσηγορία v 12 τοῦ ante δικαίου: 'deest in impresso' b 13 ἂν om OMK 15 εἰ δὲ S syr b v, ἐπεὶ δὲ OMK τὰ add Jaeger 16 ἰσοδυναμοῖ E, ἰσοδυναμεῖν J post ἀλλήλοις sscr οὐ K 17 ἄλλα J OMK v: ἀλλὰ syr, ἀλλ' οὐ LS E ('unus ex regiis' v, 'οὐ deest in impresso' b), αλλου A κατ' ἄλλην OMK: κατὰ ἄλλην ceteri v m 18 post διάνοιαν add ἡμῶν b v ὀνομασίαν AL (ὀνόμασι b) 19 ante πατέρα add τὸν S συγχωροῦντα b v 20 post μόνης add δὲ OMK ἀλλοτριοῦν: ἀποσχοινίζειν b v (var lect) αὐτῷ AL, corr L² 21 λόγοις AL (λοιποῖς b)

συγχωρεῖν. εἰ γὰρ ἐν ἐκείνοις ἄξιον, οὐδὲ ἐν τούτῳ πάντως ἀνάξιον· εἰ δὲ μικρότερον κατὰ τὸν ἐκείνων λόγον ἐστὶν ἢ ὥστε τοῦ τῆς θεότητος ὀνόματος πρὸς πατέρα τε καὶ υἱὸν τὴν κοινωνίαν χωρῆσαι, οὐδὲ ἄλλου τινὸς τῶν θεοπρεπῶν ὀνομάτων μετέχειν ἄξιον. θεωρούμενα γὰρ καὶ συγκρινόμενα πρὸς ἄλληλα τὰ ὀνόματα διὰ τῆς ἐν ἑκάστοις θεωρουμένης ἐμφάσεως εὑρεθήσεται μηδὲν τῆς τοῦ θεοῦ προσηγορίας ἔλαττον ἔχοντα· τεκμήριον δέ, ὅτι τούτῳ μὲν τῷ ὀνόματι πολλὰ καὶ τῶν καταδεεστέρων ἐπονομάζεται, μᾶλλον δὲ οὐ φείδεται ἡ θεία γραφὴ τῆς ὁμωνυμίας ταύτης οὐδὲ ἐπὶ τῶν ἀπεμφαινόντων πραγμάτων, ὅταν τὰ εἴδωλα τῇ τοῦ θεοῦ προσηγορίᾳ κατονομάζῃ. Θεοὶ γάρ, φησίν, οἳ οὐκ ἐποίησαν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀρθήτωσαν καὶ ὑποκάτω τῆς γῆς βληθήτωσαν· καὶ Πάντες, φησίν, οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. καὶ ἡ ἐγγαστρίμυθος ἐν ταῖς μαντείαις αὐτῆς ψυχαγωγοῦσα πρὸς τὸν Σαοὺλ τὰς ἐπιζητουμένας ψυχάς, θεοὺς ἑωρακέναι φησίν. ἀλλὰ καὶ ὁ Βαλαὰμ οἰωνιστής τις ὢν καὶ μάντις καὶ διὰ χειρὸς τὰ μαντεῖα φέρων (καθώς φησιν ἡ γραφή) καὶ τὴν ἐκ δαιμόνων διδασκαλίαν διὰ τῆς οἰωνιστικῆς περιεργίας ἑαυτῷ κατορ-

13 Jer 10, 11   14 Ps 95, 5   16 I Reg 28, 13   18 Num 22, 7 sq

ALS EJ OMK 1 ἐν ante ἐκείνοις om E syr (fort legit ἐκείνων) ἐν ante τούτῳ om syr (fort legit τούτου), τούτοις b 2 ἢ b v: om libri m 4 τὴν κοινωνίαν v: τῆς κοινωνίας libri m χωρῆσαι b v: κεχωρίσθαι S EJ OMK m, κεχωρεῖσθαι AL ὥστε ἐν τῷ τῆς θεότητος ὀνόματι κεχωρίσθαι πατρὸς καὶ υἱοῦ syr 5 post μετέχειν add ἂν b, 'editi ἦν ἄξιον' v θεωρούμενα: καταμανθανόμενα b v 6 ἐν om v ἑκάστοις S J b v: ἑκάστης AL OMK syr (ut vid), ἑκάστῳ E ἐνθεωρουμένης v 8 δὲ b v m: om libri syr (qui dist post τεκμήριον, non post ἔχοντα) τῷ: 'deest in impresso' b 10 θεία om O ἐπὶ b v m: ἀπὸ ALS J, om cet 11 ante ὅταν add ὡς v 12 κατονομάζει L (-ῃ b) 15 μαντείαις libri m (μαντίαις AL): μαγγανείαις b v (cf ex Gregorii Nysseni De Pythonissa 108 C vol XLV Migne: διὰ τῆς τοιαύτης μαγγανείας atque I Reg 29, 9: Μάντευσαι δή μοι ἐν τῷ ἐγγαστριμύθῳ καὶ ἀνάγαγέ μοι ὃ ἐὰν εἴπω σοι.) πρὸς ante τὸν add m: τὸν libri, τῷ v 17 ὁ om ALS (add b) μάντης L (μάντις b) 18 μαντία AL (μαντεῖα b) 19 διὰ τῆς οἰωνιστικῆς περιεργίας b v m: καὶ οἰωνιστικὴν περιεργίαν libri, ante καὶ add θεωρήσας vel simile quid syr

θώσας, παρὰ θεοῦ συμβουλεύεσθαι ὑπὸ τῆς γραφῆς ἱστορεῖται. καὶ πολλὰ τοιαῦτα ἔστι συλλεξάμενον ἐκ τῶν θείων παραθέσθαι γραφῶν ὅτι τὸ ὄνομα τοῦτο οὐδὲν παρὰ τὰς λοιπὰς θεοπρεπεῖς προσηγορίας πρωτεύει, ὅτι (καθὼς εἴρηται) καὶ 77 M. ἐπὶ τῶν ἀπεμφαινόντων ὁμωνύμως παρὰ τῆς γραφῆς λέγεται· τὸ δὲ τοῦ ἁγίου ὄνομα καὶ τοῦ ἀφθάρτου καὶ τοῦ εὐθέος καὶ τοῦ ἀγαθοῦ οὐδαμοῦ κοινοποιούμενον πρὸς τὰ μὴ δέοντα παρὰ τῆς γραφῆς ἐδιδάχθημεν. οὐκοῦν εἰ ἐν τοῖς ἐξαιρέτως ἐπὶ μόνης τῆς θείας φύσεως εὐσεβῶς λεγομένοις ὀνόμασι κοινωνεῖν τὸ ἅγιον πνεῦμα πρὸς τὸν υἱὸν καὶ τὸν πατέρα οὐκ ἀντιλέγουσι, τίς ὁ λόγος μόνῳ τούτῳ κατασκευάζειν ἀκοινώνητον εἶναι, οὗ μετέχειν ἐδείχθη κατά τινα ὁμώνυμον χρῆσιν καὶ τὰ δαιμόνια καὶ τὰ εἴδωλα;

Ἀλλὰ λέγουσι φύσεως ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην, ἀκοινώνητον δὲ εἶναι πρὸς πατέρα καὶ υἱὸν τὴν τοῦ πνεύματος φύσιν, καὶ διὰ τοῦτο μηδὲ τῆς κατὰ τὸ ὄνομα τοῦτο κοινωνίας μετέχειν. οὐκοῦν δειξάτωσαν διὰ τίνων τὸ τῆς φύσεως παρηλλαγμένον ἐπέγνωσαν. εἰ μὲν γὰρ ἦν δυνατὸν αὐτὴν ἐφ᾽ ἑαυτῆς τὴν θείαν φύσιν θεωρηθῆναι καὶ τό τε οἰκείως ἔχον καὶ τὸ ἀλλότριον διὰ τῶν φαινομένων εὑρεῖν, οὐκ ἂν πάντως ἐδεήθημεν λόγων ἢ τεκμηρίων ἑτέρων πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· ἐπεὶ δὲ ἡ μὲν ὑψηλοτέρα τῆς τῶν ζητούντων ἐστὶ κατανοήσεως, ἐκ δὲ τεκμηρίων τινῶν

ALS EJ (OMK) 1 ἱστόρηται J OMK 2/3 παρατίθεσθαι K 3 παρὰ ALS E m: ὑπὲρ J OMK syr (ut vid) b v post λοιπὰς add τὰς AL J OMK v, om S 'ex coniectura ut vid recte' 4 προτ$^{ε}_{ρ}$εύει J ὅτε b v 5 παρὰ τῆς γραφῆς λέγεται: λεγόμενον εὑρίσκομεν b v 6 τοῦ ante ἀφθάρτου om AL EJ (add b) εὐθοῦς OMK 8/11, 3 verba οὐκοῦν — ἔρευναν om OMK 8 ἐξαιρέτοις ALS (ἐξαιρέτως b) 10 κοινωποιεῖν A, κοινωνεῖ J 11 τούτῳ μόνῳ b v 14 ante φύσεως add τῆς θείας syr 14/15 verba τὴν — εἶναι om L, τὴν προσηγορίαν ἑτέραν (ἀκοινώνητον) δὲ εἶναι b 15 ταύτην om SAE b ἀκοινώνητον: ἑτέραν AS b 17 διά τινων S 18 ante ἐπέγνωσαν add οἷς ALS ('deest in impresso' b) 20 ἀλλοτρίως syr b v 'probab.' m (cf 6, 12) 22 τῶν ζητουμένων ALS E ἐπειδὴ b v 23 ζητουμένων syr b v

περὶ τῶν διαφευγόντων τὴν γνῶσιν ἡμῶν στοχαστικῶς ἀναλογιζόμεθα, ἀνάγκη πᾶσα διὰ τῶν ἐνεργειῶν ἡμᾶς χειραγωγεῖσθαι πρὸς τὴν τῆς θείας φύσεως ἔρευναν. οὐκοῦν ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας τὰς παρὰ τοῦ πατρός τε καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς
78 M. ἑτερότητος τῶν ἐνεργειῶν στοχαζόμεθα. οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι (οὔτε ψύχει τὸ πῦρ οὔτε θερμαίνει ὁ κρύσταλλος), ἀλλὰ τῇ τῶν φύσεων διαφορᾷ συνδιαχωρίζονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι. ἐὰν δὲ μίαν νοήσωμεν τὴν ἐνέργειαν πατρός τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου ἐν μηδενὶ διαφέρουσάν τι ἢ παραλλάσσουσαν, ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. ἁγιάζει καὶ ζῳοποιεῖ καὶ παρακαλεῖ καὶ πάντα τὰ τοιαῦτα ὁμοίως ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ μηδεὶς κατ' ἐξαίρετον ἀπονεμέτω τῇ ἐνεργείᾳ τοῦ πνεύματος τὴν ἁγιαστικὴν ἐξουσίαν ἀκούσας τοῦ σωτῆρος ἐν τῷ εὐαγγελίῳ περὶ τῶν μαθητῶν πρὸς τὸν πατέρα λέγοντος· Πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου.

20 Joh 17, 17

ALS EJ (**OMK**) 1 γνῶσιν: ἕνωσιν AL, νόησιν (ex coniectura ut vid) S, μνήμην (item) b στοχαστικῶς: 'deest in impresso' b, om v 2 λογιζόμεθα b v 4 εἰδῶμεν ALS (ἴδωμεν b) 5 τε om v τοῦ ante υἱοῦ om OMK τοῦ et ante υἱοῦ et ante ἁγίου: ' neutrum est in impresso ' b 7 στοχασώμεθα OMK, στοχασόμεθα v 9 ante ψύχει add γὰρ S (an recte? cf autem ann crit ad 4, 12 9, 8 11, 15) 10 κρύσταλος E 11 παρὰ om syr 12 verba ἐὰν — ἐνέργειαν: 'hec desunt in impresso' b μίαν om syr 13 τι: αὐτὴν E τι ἤ: τινα ut vid syr τι ἢ παραλλάσσουσαν om ALS (add b) 15 ἀναλογίζεσθαι AS post ἁγιάζει add γὰρ S m post ζῳοποιεῖ add φωτίζει b v m καὶ ante πάντα: κἂν AL (καὶ b) 16 τὰ om AL καὶ post πατὴρ om E, add E² 18 πνεύματος: πατρὸς m (secundum correcturam in Vat 1433, at verbo ἀκούσας vis non causalis vel concessiva inest, sed temporalis vel condicionalis) ante ἀκούσας add καὶ AL ('deest in impresso' b) σωτῆρος: πατρὸς A (falso loco ut vid coniectura, quae ad antecedens verbum πνεύματος pertinebat, ex margine in textum recepta)

ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, [πᾶσα χάρις καὶ δύναμις,] ἡ ὁδηγία, ἡ ζωή, ἡ παράκλησις, ἡ πρὸς τὸ ἀθάνατον μεταβολή, ἡ εἰς ἐλευθερίαν μετάστασις καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθὸν ὃ μέχρις ἡμῶν καταβαίνει. ἡ δὲ ὑπὲρ ἡμᾶς οἰκονομία ἔν τε τῇ νοητῇ κτίσει καὶ ἐν τῇ αἰσθητῇ, εἴ τι χρὴ διὰ τῶν γινωσκομένων ἡμῖν καὶ περὶ τῶν ὑπερκειμένων στοχάζεσθαι, οὐδὲ αὐτὴ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας καὶ δυνάμεως ἔξω καθέστηκεν, ἑκάστου κατὰ
79 M. τὴν ἰδίαν ἀξίαν τε καὶ χρείαν τῆς ὠφελείας μεταλαμβάνοντος. εἰ γὰρ καὶ ἄδηλος τῇ αἰσθήσει τῇ ἡμετέρᾳ ἡ περὶ τῶν ἄνω τῆς ἡμετέρας φύσεως διάταξίς τε καὶ διοίκησις, ὅμως ἐκ τῆς ἀκολουθίας εὐλογώτερον ἄν τις σύνθοιτο διὰ τῶν ἡμῖν γνωρίμων ἐνεργὸν εἶναι καὶ ἐπ᾽ ἐκείνων τὴν τοῦ πνεύματος δύναμιν ἢ ἀπεξενῶσθαι τῆς ἐν τοῖς ὑπερκειμένοις οἰκονομίας. ὁ μὲν γὰρ ἐκεῖνο λέγων ψιλὴν καὶ ἀκατάσκευον τὴν βλασφημίαν προβάλλεται, οὐδενὶ λογισμῷ κατασκευάζων τὴν ἀτοπίαν· ὁ δὲ συντιθέμενος καὶ τὰ ὑπὲρ ἡμᾶς μετὰ πατρὸς καὶ υἱοῦ τῇ δυνάμει τοῦ πνεύματος οἰκονομεῖσθαι, ἐναργεῖ τεκμηρίῳ τῷ κατὰ τὴν ἰδίαν ζωὴν ἐπερειδόμενος περὶ τούτων διισχυρίζεται. τῆς γὰρ ἀνθρωπίνης φύσεως ἐκ ψυχῆς τε καὶ σώματος συγκεκραμένης, τῆς δὲ ἀγγελικῆς ἀσώματον τὴν ζωὴν κεκληρωμένης, εἰ μὲν ἐπὶ μόνων τῶν

ALS EJ OMK 2 post πατρὸς add τε OMK v 3 verba πᾶσα—δύναμις om ALS (add b), delenda vid 6 ὑπὲρ ἡμῶν syr ἐν alt om S O syr v 7 τῶν post διὰ om J 8 στοχάσασθαι ALS αὐτὴ S J v: αὐτῇ AL, αὕτη cet αὐτὴ τοῦ παναγίου b 10 ἰδέαν E ἀξίαν om ALS E ante χρείαν add κοινὴν S μεταλαμβάνοντες AL E (μεταλαμβάνοντος b) 11 ἄδηλον ALS J (ἄδηλος b) τῶν ἄνω: τούτων ἀνωτάτω ALS (τῶν ἄνω b), τοῦ τῶν ἄνω J 12 διάταξίς: τάξις J, διάλεξις b 13 σύνθοιτοι (sic) b (συνθοῖτο L) 15 ἀπεξενώθη E, ἅπαξ ἡνῶσθαι OMK ἐν τοῖς ὑπερκειμένοις: τῶν ὑπερκειμένων syr 17 προσβάλλεται b 18 συνθέμενος O 20 ἐνεργεῖ AL OMK ante τεκμηρίῳ add τὸ A, τῷ L J OMK τῷ: τῶν E 21/13, 18 verba τῆς — μιᾶς: 'Que hisce ⌜ ⌝ duobus signis interiacent, desiderantur in impresso' b 21/13, 19 verba τῆς — διακεχώρισται om v 23 εἰ: ἡ AL

σωμάτων ἐνεργὸν ἦν τὸ πνεῦμα τὸ ἅγιον, ἡ δὲ ψυχὴ τῆς παρ' αὐτοῦ χάριτος ἀνεπίδεκτος ἦν, ἴσως ἄν τις ἐκ τούτου συνελογίσατο — τῆς ἐν ἡμῖν νοερᾶς τε καὶ ἀσωμάτου φύσεως ὑπὲρ τὴν τοῦ πνεύματος δύναμιν οὔσης — μηδὲ τὴν ἀγγελικὴν ζωὴν ἐπιδεᾶ τῆς ἐκείνου χάριτος εἶναι. εἰ δὲ κατὰ τὸ προηγούμενον ἡ τοῦ ἁγίου πνεύματος δωρεὰ τῆς ψυχῆς χάρις ἐστί, τῷ δὲ νοερῷ τε καὶ ἀειδεῖ συνῆπταί πως πρὸς τὴν ἀγγελικήν τε καὶ ἀσώματον ζωὴν ἡ τῆς ψυχῆς ἡμῶν κατασκευή, τίς οὐκ ἂν σύνθοιτο τῶν τὸ ἀκόλουθον βλέπειν ἐπισταμένων, ὅτι πᾶσα νοερὰ φύσις τῇ τοῦ ἁγίου πνεύματος οἰκονομεῖται διαταγῇ; ἐπειδὴ γὰρ εἴρηται Ὅτι διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς οἱ ἄγγελοι, οὐκ ἔστι δὲ ἄλλως ἰδεῖν τὴν τοῦ πατρὸς ὑπόστασιν μὴ διὰ τοῦ χαρακτῆρος εἰς αὐτὴν ἀτενίσαντα, ὁ δὲ χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως ὁ μονογενής ἐστι, τούτῳ
80 M. δὲ πάλιν οὐκ ἄν τις προσεγγίσειε μὴ τῷ ἁγίῳ πνεύματι καταυγασθεὶς τὴν διάνοιαν, τί ἐκ τούτων ἀποδείκνυται; ὅτι οὐδὲ μιᾶς ἐνεργείας τῆς παρὰ πατρὸς ἐνεργουμένης τὸ ἅγιον πνεῦμα διακεχώρισται. οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ πατρός τε καὶ υἱοῦ καὶ ἁγίου πνεύματος δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον· ὥστε, κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συνθήσεται.

Ἀλλ' οὐκ οἶδα πῶς ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν

11 Matth 18, 10   15 Hebr 1, 3

ALS EJ OMK 4 ὑπὲρ: παρὰ S, περὶ AL   7 ἀειδεῖ J OMK: ἀιδίῳ cet (cf Plat Phaed 83 b 3: εἶναι δὲ τὸ μὲν τοιοῦτον αἰσθητόν τε καὶ ὁρατόν, ὃ δὲ αὐτὴ ὁρᾷ νοητόν τε καὶ ἀειδές.)   πως om syr   εὐαγγελικήν L   9 τὸ: τι J, om MK   12 τοῦ ante ἐν om OMK   13 ante τοῦ add διὰ A   ante μὴ add τὸν OMK   14 αὐτὸν O   ἀτενιάσαντα L   15 ὁμογενής E   18 οὐδὲ om ALS   'ante ἐνεργείας impr habet haec verba οὐκ οὖν ἡ τῆς' b   18/19 verba τῆς — ἐνεργείας om ALS   post πατρὸς add καὶ υἱοῦ J OMK syr (ratione dogmatica, ut vid, falso inserentes)   20 τε om J   πνεύματος ἁγίου v   δεικνύει E   21 σημαίνει L (σημαίνῃ b)   θεότητος: φύσεως E   22 τὸ A   23 ἡ: ἢ syr   συνθήσεται OMK συντίθεται cet (cf 16, 20)   24 οἶδ' ὅπως J OMK, οἶδα ὅπως v

προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς θείας γραφῆς ὅτι χειροτονητὴ φύσις οὐ γίνεται· Μωυσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη θεός, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος ὅτι Θεόν σε δέδωκα τῷ Φαραώ. οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει, ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. εὐεργέτην γὰρ καὶ κριτήν, ἀγαθόν τε καὶ δίκαιον καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν, τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τε τούτων τῶν ὀνομάτων καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδίδωσι λόγον· ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων
81 M. ἡ σημασία ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν ἐκ τῆς τῶν ὀνομάτων κοινωνίας εὑρίσκομεν, τὸ δὲ κοινὸν τῆς φύσεως ἐναργῶς ἀποδέδεικται διὰ τῆς τῶν ἐνεργειῶν ταυτότητος

5 Exod 7, 1   6 cf Quod non sint tres dei p 44, 10; p 52, 13

ALS EJ OMK   2 θείας om v   3 Μωσῆς v   5 ἔδωκα J   7 θεοῦ ALS, θεία b   8 καθώς O, καθὸ μέν syr   9 post κριτὴν add καὶ b syr (ut vid)   10 διαφορὰν syr   13 λόγον om syr ante τε add τὸ, ante τῶν add τε ALS ('monosyllabum hoc utrumque deest in impresso' b)   15 ἀποδώσει b v   ἕτερος om O   16 τί: om S, τι A E, τη L, 'τι forte, sed neutrum habet impressum' b   οὔπω: οὕτω b   17 τῶν: αὐτῶν K   18 ἀξίας: οὐσίας ALS (ἀξίας b), 'fort ἐξουσίας' m   ὀνομαζομένη syr (errore calami, ut vid)   τὸ: τῶν A, τὸν L   18/19 τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις: τῶν μὲν οὖν ἐνεργειῶν syr   19 τῶν om O, add O[2]   20 ante κοινωνίας add διαφορᾶς καὶ ALS ('deest in impresso' b) E non intellego, qua de causa; an respicientes 14, 10: ἐνεργειῶν διαφορὰς?   20/15, 1 pro verbis τὸ — συνιστάμενον: τῆς δὲ κατὰ τὴν φύσιν παραλλαγῆς οὐδεμίαν καταλαμβάνομεν ἐναργῆ (ἐνεργῆ b) τὴν ἀπόδειξιν, καθὼς εἴρηται, τῆς τῶν ἐνεργειῶν ταυτότητος τὸ (δὲ omissum non notavit b) κοινὸν τῆς φύσεως ὑποσημαινούσης b (ex impresso), v   20 post δὲ add τὸ O

συνιστάμενον. εἴτε οὖν ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, οὕτω μίαν φαμὲν εἶναι τὴν θεότητα· εἴτε κατὰ τὰς τῶν πολλῶν δόξας φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν ἐκ τῆς τῶν ἐνεργειῶν ταυτότητος οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν ἁγίαν τριάδα διοριζόμεθα. εἰ δέ τις ἀξίας ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην ὁρίζοιτο, οὐκ οἶδα μὲν τίνι λόγῳ πρὸς τὴν τοιαύτην σημασίαν ἕλκει τὸ ὄνομα· πλὴν ἐπειδὴ πολλῶν ἐστι τὸ τοιοῦτον λεγόντων ἀκούειν, ὡς ἂν μηδαμόθεν χώραν κατὰ τῆς ἀληθείας ἡ τῶν ἀντικειμένων εὑρίσκοι σπουδή, καὶ πρὸς τὴν τοιαύτην ὑπόληψιν συμπεριενεχθέντες τοῖς οὕτω δοξάζουσι φαμὲν ὅτι, κἂν ἀξίαν σημαίνῃ τὸ ὄνομα, καὶ κατὰ τοῦτο κυρίως τῷ ἁγίῳ πνεύματι ἡ προσηγορία ἐφαρμοσθήσεται. πᾶσαν μὲν γὰρ ἀξίαν ἐνδείκνυται τῆς βασιλείας τὸ ὄνομα, Ὁ δὲ θεὸς ἡμῶν, φησί, βασιλεὺς προαιώνιος. ἀλλὰ καὶ τοῦ βασιλέως ὁ υἱὸς ὁ πάντα <τὰ> τοῦ πατρὸς ἔχων καὶ αὐτὸς βασιλεὺς παρὰ τῆς ἁγίας γραφῆς ἀνακηρύττεται, τὸ δὲ πνεῦμα τὸ ἅγιον χρῖσμα τοῦ μονογενοῦς εἶναί φησιν ἡ θεία γραφὴ ἐκ μεταφορᾶς τῶν τῇδε νενομισμένων τὴν ἀξίαν τοῦ πνεύματος ἑρμηνεύουσα. ὡς γὰρ ἐν τοῖς ἀρχαίοις τοῖς εἰς βασιλείαν παραγομένοις σύμ-
82 M. βολον ἦν τῆς ἀξίας ταύτης τὸ ἐπαγόμενον αὐτοῖς χρῖσμα, οὗ γενομένου τὸ ἀπ' ἐκείνου μετάστασις ἦν ἀπὸ τῆς ἰδιωτικῆς ταπεινότητος ἐπὶ τὴν τῆς δυναστείας ὑπεροχήν, καὶ ἕτερον

16 Ps 73, 12

ALS EJ OMK 2 μίαν Λ (ex coniectura, ut vid), v: om cet 3 post εἶναι add καὶ OMK syr (ex coniectura, ut vid; in archetypo neque μίαν neque καὶ invenerunt) τῶν om E L (add b) 5 εὑρίσκεσθαι syr 5/6 verba ἐκ — ταυτότητος om v 6 μίαν θεότητα syr 7 διοριζόμεθα b v: ὁριζόμεθα libri m, 'reliqua usque ad finem non habet impressum' b, post διοριζόμεθα finis epistulae v δεικτικὴν E 8 ὀνομάζοιτο O 9 ἕλκει S: ἕλκων cet 10 τοιοῦτο S 12/13 συμπεριενεχθῶμεν E 14 σημάνη OMK, corr O[2] 17 πρὸ αἰῶνος EMK, προαιῶνος O (cf Ps 73, 12: πρὸ αἰῶνος) 18 τὰ add Jaeger 20 γραφὴ: φωνὴ syr 21 ante πνεύματος add ἁγίου syr 23 αὐτοῖς om syr χρῆμα AL 24 τὸ: ὡς syr post μετάστασις add τις EJ OMK b v m

μετελάμβανεν ὄνομα μετὰ τὴν χρῖσιν ὁ τῆς χάριτος ταύτης ἠξιωμένος ἀντὶ τοῦ κοινοῦ ἀνθρώπου χριστὸς κυρίου ὀνομαζόμενος· διὰ τοῦτο, ὡς ἂν μάλιστα ἡ τοῦ ἁγίου πνεύματος ἀξία τοῖς ἀνθρώποις παραδειχθείη, σύμβολον βασιλείας καὶ χρῖσμα παρὰ τῆς γραφῆς ὠνομάσθη, διδασκομένων ἡμῶν ὅτι τῆς τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ δόξης καὶ βασιλείας κοινωνεῖ τὸ πνεῦμα τὸ ἅγιον. ὡς γὰρ ἐν ἀνθρώποις οὐκ ἦν παρελθεῖν εἰς βασιλείαν μὴ προκαθηγησαμένου χρίσματος, οὕτω τὴν ἴσην ἐνδείκνυται δύναμιν ἐκ μεταφορᾶς τῶν παρ' ἡμῖν ὀνομάτων ὁ λόγος, ὅτι οὐδὲ ἡ τοῦ υἱοῦ βασιλεία δίχα τῆς τοῦ ἁγίου πνεύματος ἀξίας καταλαμβάνεται· διὸ κυρίως χριστὸς λέγεται, τῆς ἀχωρίστου καὶ ἀδιαστάτου πρὸς τὸ ἅγιον πνεῦμα συναφείας τοῦ ὀνόματος τούτου παρεχομένου τὴν ἔνδειξιν. εἰ οὖν χριστὸς μὲν ὁ μονογενὴς θεός, χρῖσμα δὲ τὸ πνεῦμα τὸ ἅγιον, ἡ δὲ τοῦ χριστοῦ προσηγορία τὴν βασιλικὴν ἐξουσίαν ἐνδείκνυται, σύμβολον δὲ τῆς βασιλείας ἡ χρῖσις ἐστίν, ἄρα κοινωνεῖ καὶ τῆς ἀξίας τὸ πνεῦμα τὸ ἅγιον. εἰ οὖν φασί τινες τὸ τῆς θεότητος ὄνομα τοῦ ἀξιώματος εἶναι δηλωτικόν, ἀπεφάνθη δὲ κοινωνεῖν ἐν τούτῳ τὸ πνεῦμα τὸ ἅγιον, ἄρα τὸ κοινωνοῦν τῆς ἀξίας κοινωνήσει πάντως καὶ τοῦ παραστατικοῦ ταύτης ὀνόματος.

ALS EJ (O)MK 2 τοῦ om E 4 παραδειχθείη corr Jaeger: παραδειχθῇ libri 6 ὅτι: ἔτι AL 7 ἀνθρώποις: τῷ ἰσραὴλ OMK (verba in 9/10 τῶν παρ' ἡμῖν ὀνομάτων falso interpretati) 8 ante χρίσματος add τοῦ OMK 9 παρ': ἐν OMK (cf 7 ἐν . .) 10 οὐδὲ om ALS, οὐδὲν syr τοῦ υἱοῦ om syr 11 post ἀξίας add οὐ S 15/18 verba ἡ — ἅγιον om A 15 τοῦ om L EJ (cf De perfectione vol VIII, 1 181, 12.22 aliisque locis) 16 O expl 17 ante ἄρα add ἢ L 19/20 τὸ ἅγιον πνεῦμα E 21 ταύτῃ MK post ὀνόματος add πρὸς εὐστάθιον περὶ τῆς ἁγίας τριάδος καὶ ὅτι θεὸς τὸ πνεῦμα τὸ ἅγιον M

AD GRAECOS
(EX COMMUNIBUS NOTIONIBUS)

CONSPECTUS SIGLORUM

(Ex communibus notionibus)

Φ codex Laurentianus Mediceus 6, 17 membranaceus saec. X/XI

Λ codex Musei Britannici Old Royal XVI D I membranaceus saec. XII

Ψ codex Laurentianus Mediceus 7, 35 membranaceus saec. XIII/XIV

J codex Vindobonensis theol. graecus 35 membranaceus saec. XIII

v textus vulgatus editionis Parisinae (1638) et Mignei

1 aut 2 sigillo additum manum primam aut secundam codicis significat

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

Πῶς τρία πρόσωπα λέγοντες ἐν τῇ θεότητι οὔ φαμεν τρεῖς θεούς

πρὸς τοὺς Ἕλληνας ἀπὸ τῶν κοινῶν ἐννοιῶν

176 M. Εἰ τὸ θεὸς ὄνομα προσώπου δηλωτικὸν ὑπῆρχεν, τρία πρόσωπα λέγοντες ἐξ ἀνάγκης τρεῖς ἂν ἐλέγομεν θεούς· εἰ δὲ τὸ θεὸς ὄνομα οὐσίας σημαντικόν ἐστιν, μίαν οὐσίαν ὁμολογοῦντες τῆς ἁγίας τριάδος ἕνα θεὸν εἰκότως δογματίζομεν, ἐπειδὴ μιᾶς οὐσίας ἓν ὄνομα τὸ θεός ἐστιν. διὸ καὶ ἀκολούθως τῇ τε οὐσίᾳ καὶ τῷ ὀνόματι εἷς ἐστι θεὸς καὶ οὐ τρεῖς. οὐδὲ γὰρ θεὸν καὶ θεὸν καὶ θεόν φαμεν, ὥσπερ λέγομεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐπεὶ τοῖς ὀνόμασι τοῖς τῶν προσώπων σημαντικοῖς συμπλέκομεν τὸν καὶ σύνδεσμον διὰ τὸ μὴ ταὐτὰ εἶναι τὰ πρόσωπα, ἑτεροῖα δὲ μᾶλλον καὶ διαφέροντα ἀλλήλων κατ' αὐτὴν τὴν τῶν ὀνομάτων σημασίαν, τῷ δὲ θεὸς ὀνόματι δηλωτικῷ τῆς οὐσίας ὄντι ἔκ τινος ἰδιώματος προσόντος αὐτῇ οὐ συνάπτομεν τὸν καὶ σύνδεσμον ὥστε λέγειν ἡμᾶς θεὸν καὶ θεὸν καὶ θεόν, ἐπείπερ ἡ αὐτή ἐστιν οὐσία, ἧς ἐστι τὰ πρόσωπα καὶ ἣν σημαίνει τὸ θεὸς ὄνομα· διὸ καὶ ὁ αὐτὸς θεός· τῷ δὲ αὐτῷ καὶ ἐπὶ δηλώσει τοῦ αὐτοῦ ὁ καὶ σύνδεσμος οὐ συμπλέκεταί

ΦΛΨ J **Tit** Γρηγορίου ἐπισκόπου Νύσσης: τοῦ αὐτοῦ libri, τοῦ αὐτοῦ γρηγορίου v   πῶς τρία πρόσωπα λέγοντες ἐν τῇ θεότητι οὔ φαμεν τρεῖς θεούς ΦΛΨ: om J v πρὸς τοὺς Ἕλληνας ἀπὸ τῶν κοινῶν ἐννοιῶν ΦΛΨ: πρὸς Ἕλληνας ἐκ τῶν κοινῶν ἐννοιῶν J v   1 προσώπων J v   2 ἂν τρεῖς J v   3 τὸ om v   4/5 δοξάζομεν J v   5 ἐπεὶ J v   ἓν om Ψ   6 καὶ ante οὐ om v   7 οὐδὲ correxi: οὔτε libri v   8 ἐπεὶ Λ²: ἐπὶ ΦΛ¹ Jv, καὶ ἐπὶ Ψ   9 συμπλέκοντες J v   11 κατὰ τὴν J v   12 δηλωτικῶς ΦΨ   13 αὐτῆς J v   14 θεὸν καὶ θεὸν post καί: ἄνθρωπον Λ   15 ἐστιν post αὐτή: ἐπ' v   ἧς Ψ: ἡ cet v   16 τὸ ὄνομα τὸ θεός Ψ   ὁ om Λ   ante θεὸς add ὁ v   τῷ δὲ αὐτῷ Ψ¹ J¹: τὸ δὲ αὐτὸ ΦΛΨ² J², ὁ δὲ αὐτὸς v   17 ἐπιδηλώσει Φ v   ὁ καὶ σύνδεσμος om J v

ποτε. εἰ δὲ λέγομεν πατέρα θεὸν καὶ υἱὸν θεὸν καὶ πνεῦμα ἅγιον θεὸν ἢ θεὸν πατέρα καὶ θεὸν υἱὸν καὶ θεὸν πνεῦμα ἅγιον, τὸν καὶ σύνδεσμον κατ᾽ ἔννοιαν τοῖς τῶν προσώπων ὀνόμασι συνάπτομεν, οἷον πατρί, υἱῷ, ἁγίῳ πνεύματι, ἵνα ᾖ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τουτέστι πρόσωπον καὶ πρόσωπον καὶ πρόσωπον, διὸ καὶ τρία πρόσωπα. τὸ δὲ θεὸς ὄνομα ἀπολύτως καὶ ὡσαύτως κατηγορεῖται ἑκάστου τῶν προσώπων ἄνευ τοῦ καὶ συνδέσμου, ὥστε μὴ δύνασθαι ἡμᾶς λέγειν θεὸν καὶ θεὸν καὶ θεόν, ἀλλὰ νοεῖν τὸ ὄνομα <δεύτερον καὶ> τρίτον μὲν λεγόμενον τῇ φωνῇ διὰ τὰ ὑποκείμενα πρόσωπα, προ<σ>βαλλόμενον δὲ τῇ δευτερώσει καὶ τῇ τριτώσει ἄνευ τοῦ καὶ συνδέσμου διὰ τὸ μὴ ἕτερον καὶ ἕτερον εἶναι θεόν. οὐ γάρ, καθὸ τὴν ἑτερότητα σῴζει πατὴρ πρὸς υἱόν, κατὰ τοῦτο θεὸς ὁ πατήρ· οὕτω γὰρ οὐκ ἂν θεὸς ὁ υἱός· εἰ γάρ, ἐπειδὴ πατὴρ ὁ πατήρ, διὰ τοῦτο καὶ θεὸς ὁ πατήρ, ἐπειδὴ μὴ πατὴρ ὁ υἱός, οὐ θεὸς ὁ υἱός· εἰ δὲ θεὸς ὁ υἱός, οὐκ, ἐπειδὴ υἱός. ὁμοίως καὶ ὁ πατὴρ οὐκ, ἐπειδὴ πατήρ, θεός, ἀλλ᾽ ἐπειδὴ οὐσία τοιάδε, ἧς ἐστι
177 M. πατὴρ καὶ υἱὸς καὶ δι᾽ ἣν πατὴρ θεὸς καὶ υἱὸς θεὸς καὶ πνεῦμα ἅγιον θεός. μὴ διαιρουμένης δὲ τῆς οὐσίας ἐν ἑκάστῳ τῶν προσώπων ὥστε καὶ τρεῖς εἶναι οὐσίας κατὰ τὰ πρόσωπα, δῆλον ὅτι οὐδὲ τὸ ὄνομα διαιρεθήσεται, ὅπερ σημαίνει τὴν οὐσίαν, τουτέστι τὸ θεός, εἰς τὸ εἶναι τρεῖς θεούς. ἀλλ᾽ ὥσπερ οὐσία ὁ πατήρ, οὐσία ὁ υἱός, οὐσία τὸ ἅγιον πνεῦμα καὶ οὐ τρεῖς οὐσίαι, οὕτω καὶ θεὸς ὁ πατήρ, θεὸς ὁ υἱός, θεὸς τὸ πνεῦμα τὸ ἅγιον καὶ οὐ τρεῖς θεοί. εἷς γὰρ θεὸς καὶ ὁ αὐτός, ἐπεὶ καὶ μία οὐσία καὶ ἡ αὐτή, εἰ

ΦΛΨ J 4 συνάπτωμεν Φ καὶ ante υἱῷ add ΦΨ καὶ ante ἁγίῳ add ΦΛΨ 5 καὶ ante υἱὸς om J v 8 πρόσωπον Φ ἡμᾶς om Λ 9/10 δεύτερον καὶ addidi 11 προσβαλλόμενον correxi: προβαλλόμενον libri v τῇ post καὶ om Λ 15 ἐπεὶ J v 16 ἐπεὶ J v 17 ἐπεὶ J v 18 ἐπεὶ J v ἐπεὶ J v ἧς Λ²: εἷς cet v 19 θεὸς post υἱὸς pr add J v αἰτίαν post ἣν add J v 20 ἐν: ἑνὶ Ψ 22 οὐδὲ correxi: οὔτε libri v 23 τουτέστι: οὔτε J v 26 τὸ ἅγιον πνεῦμα Ψ 27 καὶ ante μία om Ψ καὶ ante ἡ om J v

καὶ λέγεται ἕκαστον τῶν προσώπων καὶ ἐνούσιον καὶ θεός. ἢ γὰρ ἀνάγκη τρεῖς λέγειν οὐσίας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἐπειδὴ οὐσία τῶν προσώπων ἕκαστον, ὅπερ ἐστὶν ἀλογώτατον, ἐπείπερ οὐδὲ Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν φαμὲν τρεῖς οὐσίας· μία γὰρ καὶ ἡ αὐτὴ τῶν τοιούτων προσώπων ἡ οὐσία· ἢ μίαν λέγοντες οὐσίαν, ἧς ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, καίπερ ἐνούσιον εἰδότες τῶν προσώπων ἕκαστον, ἕνα δικαίως καὶ ἀκολούθως φαμὲν θεόν, εἰ καὶ τῶν προσώπων ἕκαστον θεὸν εἶναι πιστεύομεν, διὰ τὸ κοινὸν τῆς οὐσίας. ὥσπερ γὰρ <διὰ> τὸ διαφέρειν τὸν πατέρα τοῦ τε υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τρία φαμὲν πρόσωπα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, οὕτως, ἐπειδὴ μὴ διαφέρει πατὴρ υἱοῦ τε καὶ ἁγίου πνεύματος κατὰ τὴν οὐσίαν, μίαν εἶναι λέγομεν τὴν οὐσίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. εἰ γάρ, ἔνθα διαφορά, τριὰς διὰ τὴν διαφοράν, ἔνθα ταυτότης, μονὰς διὰ τὴν ταυτότητα· ἔστι δὲ ταυτότης τῶν προσώπων κατὰ τὴν οὐσίαν· μονὰς ἄρα αὐτῶν κατὰ τὴν οὐσίαν. εἰ δὲ κατὰ τὴν οὐσίαν μονὰς τῆς ἁγίας τριάδος, δῆλον ὅτι καὶ κατὰ τὸ θεὸς ὄνομα. δηλωτικὸν γὰρ τοῦτο τῆς οὐσίας οὐ τὸ τί αὐτῆς παριστῶν (δῆλον ὅτι ἐπείπερ ἀπερινόητον καὶ ἀκατάληπτον τὸ τῆς θείας οὐσίας), ἀλλ' ἀπό τινος ἰδιώματος προσόντος

ΦΛΨ J 1 ἕκαστον τῶν προσώπων λέγεται J v 2 ἢ Ψ J $Λ^1$: εἰ $Λ^2$ Φ, καὶ v καὶ ante υἱοῦ om ΛΨ 3 ἐπεὶ J v 4 ἐστὶν om Ψ ἐπείπερ οὐδὲ correxi: ἐπείπερ οὔτε ΦΛΨ, οὐδὲ γὰρ J v 5 τρεῖς οὐσίας φαμέν J v 5-6 verba μία — οὐσία: ἀλλὰ μίαν J v 6 ἢ: καὶ v 7 ἧς: εἰς $Λ^1$, corr $Λ^2$ 7-8 verba καίπερ — ἕκαστον om J v 8 δικαίως καὶ om J v 9 καὶ ἐνούσιον καὶ post ἕκαστον add J v 10 verba διὰ — οὐσίας om J v διὰ ante τὸ addidi τὸ ΦΛ: τῷ Ψ J v 12 verba πατρὸς — πνεύματος om J v 13 ἐπεὶ J v διαφέρει ΛΨ: διαφέρῃ Φ, διαφέρουσι J v 13-14 verba πατὴρ — πνεύματος om J v 14-19 verba μίαν — τριάδος: ἀλλ' ἔστι κατ' αὐτὴν τῶν προσώπων ταυτότης J v 14 μίαν εἶναι om Λ 15 καὶ ante υἱοῦ om Λ ante υἱοῦ add οὐ Φ 19 δῆλον ὅτι: ἔσται πάντως J v 21 παριστοῦν Ψ verba δῆλον — καὶ: ἐπεὶ J v 22 verba τὸ — οὐσίας om J v ἰδιωμάτων v

αὐτῇ λαμβανόμενον παραδηλοῖ αὐτήν, καθάπερ τὸ χρεμετιστικὸν καὶ τὸ γελαστικὸν ἰδιώματα ὄντα φύσεων λεγόμενα σημαίνει τὰς φύσεις, ὧνπέρ ἐστιν ἰδιώματα. ἔστι τοίνυν ἰδίωμα τῆς ἀϊδίου οὐσίας, ἧς ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, τὸ πάντα ἐποπτεύειν καὶ θεωρεῖν καὶ γινώσκειν, οὐ μόνον τὰ ἔργῳ γινόμενα, ἀλλὰ καὶ τὰ ἐν νῷ λαμβανόμενα, ὅπερ μόνης ἐστὶν ἐκείνης τῆς οὐσίας, ἅτε δὴ καὶ αἰτίας πάντων ὑπαρχούσης τῆς τὰ πάντα ποιησάσης καὶ πάντων ὡς ἰδίων ποιημάτων δεσποζούσης, τὰ <δὲ> κατ᾽ ἀνθρώπους ἅπαντα συμφέροντί τινι καὶ ἀρρήτῳ λόγῳ πρυτανευούσης. ἐντεῦθεν εἰλημμένον τὸ θεὸς ὄνομα κυρίως λεγόμενον σημαίνει τὴν οὐσίαν ἐκείνην, ἥτις ἀληθῶς δεσπόζει τῶν ἁπάντων ὡς πάντων δημιουργός. μιᾶς τοιγαροῦν ὑπαρχούσης τῆς οὐσίας, ἧς ἐστι πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, καὶ ἑνὸς τοῦ παραδηλοῦντος αὐτὴν ὀνόματος (φημὶ δή, τοῦ θεός) εἷς θεὸς ἔσται κυρίως καὶ ἀκολούθως τῷ λόγῳ τῆς οὐσίας, μηδενὸς λόγου καταναγκάζοντος ἡμᾶς τρεῖς λέγειν θεούς, ὥσπερ οὖν οὐδὲ τρεῖς οὐσίας. εἰ γὰρ ἐπὶ Πέτρου καὶ Παύλου καὶ Βαρνάβα τρεῖς οὐσίας οὔ φαμεν διὰ τὸ μιᾶς αὐτοὺς εἶναι, πόσῳ μᾶλλον ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τοῦτο δικαίως οὐ ποιήσομεν· εἰ γὰρ τὴν οὐσίαν οὐ διαιρετέον εἰς τρεῖς διὰ τὰ πρόσωπα, δῆλον ὅτι οὐδὲ τὸν θεόν, ἐπεὶ μὴ πρόσωπον δηλοῖ τὸ θεός, ἀλλὰ τὴν οὐσίαν. εἰ γὰρ πρόσωπον ἐδήλου τὸ θεός, ἓν καὶ μόνον

ΦΛΨ J 1 παραδηλοῦν J v 1-3 verba καθάπερ — ἰδιώματα om J v 4 τοίνυν: γὰρ J v ἐστι post ἧς om J v καὶ ante υἱὸς Φ: om ΛΨ J v 6-11 verba οὐ — πρυτανευούσης: καὶ αὐτὰ τὰ κρύφια J v 6 καὶ τὰ ἐν νόμω (corr ex λόγω ut vid Λ^{2}) post ἀλλὰ add Λ 8 τῆς add Λ^{2}: om ΦΛ^{1}Ψ 9 δὲ addidi, ἀνθρώπους correxi: αὐτοὺς libri 10 τῷ ante λόγῳ add Φ 12-13 verba ἥτις — δημιουργός om J v 12 ἥτις: εἴ τις Φ 14 τοιαύτης post τῆς add J v verba ἧς — πνεῦμα om J v ἧς: εἷς Λ^{1}, corr Λ^{2} καὶ ante υἱὸς om Λ 16 θεός J: θεοῦ cet θεὸς om Ψ ἔσται ex ἐστι corr Φ κυρίως ἔσται θεὸς J v καὶ om J v 16-17 τῷ λόγῳ τῆς οὐσίας ἀκολούθως J v 17-23 verba μηδενὸς — θεόν om J v 20 καὶ ante υἱοῦ om Λ 21 ποιήσομεν corr Vat gr 448: ποιήσαιμεν ΦΛΨ (ἂν ποιήσαιμεν fuit var lect in archetypo, ut vid)

τῶν προσώπων ἐλέγετο θεός, ὅπερ ἐσημαίνετο τῷ τοιῷδε ὀνόματι, ὥσπερ οὖν καὶ πατὴρ μόνος ὁ πατὴρ λέγεται διὰ τὸ προσώπου δηλωτικὸν εἶναι τοῦτο τὸ ὄνομα.

Εἰ δὲ φαίη τις, ὅτι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν φαμὲν τρεῖς οὐσίας μερικάς [δῆλον ὅτι τοῦτ᾽ ἔστιν ἰδικάς]· τοῦτο γὰρ κυριώτερον εἰπεῖν, γνώτω ὅτι μερικὴν οὐσίαν, τουτέστιν ἰδικήν, λέγοντες οὐδὲν ἕτερον σημᾶναι βουλόμεθα ἢ ἄτομον, ὅπερ ἐστὶ πρόσωπον. διὸ δὴ καὶ τρεῖς εἰ λέγοιμεν μερικὰς οὐσίας, τουτέστιν ἰδικάς, οὐδὲν ἄλλο φαμὲν ἢ τρία πρόσωπα· προσώποις δὲ οὐχ ἕπεται τὸ θεός, καθάπερ δέδεικται. οὐδ᾽ ἄρα οὐδὲ τῇ μερικῇ, ὅπερ ἐστὶν ἰδικῇ, οὐσίᾳ· ταὐτὸν γάρ ἐστιν ἰδικὴ οὐσία τῷ προσώπῳ ἐπὶ τῶν ἀτόμων λεγομένη. τί οὖν λεκτέον πρὸς ἐκεῖνο, ὅτι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν τρεῖς φαμὲν ἀνθρώπους; εἰ γὰρ ταῦτα πρόσωπα, πρόσωπα δὲ τῷ σημαντικῷ ὀνόματι τῆς κοινῆς οὐσίας οὐ σημαίνεται, ὁμοίως οὐδὲ ἡ μερικὴ λεγομένη ἤτοι ἰδικὴ οὐσία, ἐπειδὴ ταὐτὸν αὕτη τῷ προσώπῳ — τίνος χάριν τρεῖς ἀνθρώπους φαμὲν αὐτοὺς μιᾶς οὐσίας ὑπάρχοντας, ἧς ἐστι τὸ ἄνθρωπος δηλωτικόν, εἰ μήτε διὰ τὰ πρόσωπα μήτε διὰ τὸ λέγεσθαι μερικὴν ἤγουν ἰδικὴν οὐσίαν ἐκφωνοῦμεν τοῦτο; φαμέν, ὅτι καταχρηστικῶς καὶ οὐ κυρίως τοῦτο λέγομεν διά τινα συνήθειαν ἐξ ἀναγκαίων
180 M. αἰτιῶν κρατήσασαν, αἵτινες οὐ θεωροῦνται ἐπὶ τῆς ἁγίας τριάδος, ἵνα καὶ ἐπ᾽ αὐτῆς τοῦτο αὐτὸ ποιῶμεν. εἰσὶ

ΦΛΨ J 2 ὁ πατὴρ om Λ 3 τὸ post διὰ om Λ τοῦ ante προσώπου add ΦΛΨ 5 verba δῆλον — ἰδικάς add J v, om ΦΛΨ 6 γνώτω om J v 8-10 verba διὸ — πρόσωπα om J v 9 οὐσίας μερικὰς Φ 10 καθάπερ: καθὼς J v 11-13 verba οὐδ᾽ — λεγομένη om J v 16 οὐ J v: om ΦΛΨ 17 λεγομένη J v: γενομένη ΦΛΨ ἤτοι om Λ ἐπεὶ J v αὕτη: αὐτὴ J v: 18 τρεῖς ἀνθρώπους φαμὲν: φ. τρ. ἀ. Λ 19 τὸ: ὁ Λ 20-21 ἤγουν ἰδικὴν οὐσίαν ΦΛ: ἰδ. οὐσ. Φ, οὐσίαν ἤτοι ἰδ. J v 21 τοῦτο; φαμέν distinxi: τοῦτό φαμεν 22 καὶ om Ψ 23-24 verba αἵτινες — τριάδος: τῶν μὴ ἐπὶ τ. ἁγ. τρ. θεωρουμένων J v 24 verba ἵνα — ποιῶμεν om J v

δὲ αἱ αἰτίαι αὗται· ὁ ὅρος ὁ τοῦ ἀνθρώπου οὐκ ἀεὶ ἐν τοῖς αὐτοῖς ἀτόμοις ἤγουν προσώποις θεωρεῖται· τῶν μὲν γὰρ προτέρων τελευτώντων ἕτερα ἀντ᾽ αὐτῶν συνίσταται καὶ πάλιν τῶν αὐτῶν πολλάκις μενόντων ἄλλα τινὰ ἐπιγίνεται, ὡς ποτὲ μὲν ἐν τούτοις, ποτὲ δὲ ἐν ἐκείνοις, καὶ ποτὲ μὲν ἐν πλείοσιν, ποτὲ δὲ ἐν ὀλιγωτέροις θεωρεῖσθαι τὸν τῆς φύσεως ἤγουν τοῦ ἀνθρώπου ὅρον. διὰ ταύτην οὖν τὴν αἰτίαν τῆς τε προσθήκης καὶ τῆς ἀφαιρέσεως τῆς τε ἀποβιώσεως καὶ γεννήσεως τῶν ἀτόμων, ἐν οἷς θεωρεῖται ὁ τοῦ ἀνθρώπου ὅρος, ἀναγκαζόμεθα καὶ πολλοὺς λέγειν ἀνθρώπους καὶ ὀλίγους τῇ τροπῇ καὶ ἀλλοιώσει τῶν προσώπων ἐκκρουσθείσης τῆς κοινῆς συνηθείας καὶ παρ᾽ αὐτὸν τὸν τῆς οὐσίας λόγον, ὥστε συναριθμεῖν τοῖς προσώποις τρόπον τινὰ καὶ οὐσίας. ἐπὶ δὲ τῆς ἁγίας τριάδος οὐδὲν τοιοῦτον συμβαίνει ποτέ· δεῖ γὰρ τὰ αὐτὰ πρόσωπα καὶ οὐχ ἕτερα καὶ ἕτερα λέγεσθαι ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχοντα μήτε προσθήκην τινὰ δεχόμενα τὴν εἰς τετράδα μήτε μείωσιν τὴν εἰς δυάδα· (οὔτε γὰρ γεννᾶται ἢ ἐκπορεύεται ἐκ τοῦ πατρὸς ἢ ἐξ ἑνὸς τῶν προσώπων πρόσωπον ἕτερον, ὥστε καὶ τετράδα εἶναί ποτε τὴν τριάδα· οὔτε τελευτᾷ ποτε ἓν τῶν τριῶν τούτων προσώπων κἂν ὡσεὶ ῥοπῇ ὀφθαλμοῦ, ὥστε δυάδα τὴν τριάδα γενέσθαι κἂν τῇ ἐνθυμήσει·) προσθήκης δὲ καὶ μειώσεως τροπῆς τε καὶ ἀλλοιώσεως μηδεμιᾶς γινομένης τοῖς τρισὶ προσώποις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος οὐδὲν τὸ παρακροῦον τὴν ἡμετέραν διάνοιαν πρὸς τοῖς τρισὶ προσώποις καὶ τρεῖς λέγειν θεούς. πάλιν τὰ τοῦ ἀνθρώπου

ΦΛΨ J 1 δὲ: δὲ καὶ Λ αἱ αἰτίαι om J v 2 ἤγουν: ἤτοι J v 3 πρότερον Λ 6 ὀλιγωτέροις: ἐλάττοσι J v θεωρεῖται Λ 6-7 τὸν . . . ὅρον: ὁ . . . ὅρος Λ 6-8 verba τὸν — προσθήκης om J v 12 παρ᾽ correxi: παρὰ J v, περὶ ceteri 13 τρόπον τινά: τινὰ τρ. J v 15 δεῖ γάρ: διὰ τὸ J v 16 λέγεσθαι J v: om ΦΛ, εἶναι Ψ ἀεὶ om J v 17 δεχόμενα τὴν: δέχεσθαι αὐτὴν J v 19 πρόσωπον ἕτερον: ἕτ. πρ. J v 21 προσώπων om Λ verba κἂν — ὀφθαλμοῦ om J v 22 γενέσθαι: γίνεσθαι J v κἂν τῇ ἐνθυμήσει om J v 23 τε: δὲ Λ 24-25 verba πατρὸς — διάνοιαν: ἄτοπον J v 24 καὶ ante υἱοῦ om Λ 25 παρακροῦον Φ: παρεκκροῦον ΛΨ

πρόσωπα πάντα οὐκ ἀπὸ τοῦ αὐτοῦ προσώπου κατὰ τὸ προσεχὲς ἔχει τὸ εἶναι, ἀλλὰ τὰ μὲν ἐκ τούτου, τὰ δὲ ἐξ ἐκείνου ὡς πολλὰ καὶ διάφορα εἶναι πρὸς τοῖς αἰτιατοῖς καὶ τὰ αἴτια. ἐπὶ δὲ τῆς ἁγίας τριάδος οὐχ οὕτως· ἓν γὰρ πρόσωπον καὶ τό αὐτό, τοῦ πατρός, ἐξ οὗπερ ὁ υἱὸς γεννᾶται καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. διὸ δὴ καὶ κυρίως τὸν ἕνα αἴτιον μετὰ τῶν αὐτοῦ αἰτιατῶν ἕνα θεόν φαμεν τεθαρρηκότως, ἐπειδὴ καὶ συνυπάρχει αὐτοῖς. οὔτε γὰρ χρόνῳ διήρηται ἀλλήλων τὰ πρόσωπα τῆς θεότητος οὔτε τόπῳ, οὐ βουλῇ, οὐκ ἐπιτηδεύματι, οὐκ ἐνεργείᾳ, οὐ πάθει, οὐδενὶ τῶν τοιούτων, οἷάπερ θεωρεῖται ἐπὶ τῶν ἀνθρώπων· ἢ μόνον, ὅτι ὁ πατὴρ πατήρ ἐστι καὶ οὐχ υἱὸς καὶ ὁ υἱὸς υἱός ἐστι καὶ οὐ πατήρ, ὁμοίως καὶ τὸ πνεῦμα τὸ ἅγιον οὔτε πατὴρ οὔτε υἱός. διόπερ οὐδεμία ἀνάγκη παρακρούει ἡμᾶς τρεῖς θεοὺς εἰπεῖν τὰ τρία πρόσωπα, ὥσπερ ἐφ' ἡμῶν πολλοὺς ἀνθρώπους φαμὲν τὰ πολλὰ πρόσωπα διὰ τὰς εἰρημένας αἰτίας. ὅτι δὲ διὰ τὰς εἰρημένας αἰτίας καὶ οὐ κατὰ λόγον ἀναγκαῖόν φαμεν τὰ πολλὰ πρόσωπα τοῦ ἀνθρώπου πολλοὺς ἀνθρώπους, ἐντεῦθεν γένοιτ' ἂν δῆλον· τὸ αὐτὸ κατὰ τὸ αὐτὸ ἓν καὶ πολλὰ οὐ δύναται εἶναι· ἔστι δὲ Πέτρος καὶ Παῦλος καὶ Βαρνάβας ὁμολογουμένως κατὰ τὸ ἄνθρωπος εἷς ἄνθρωπος· κατὰ τὸ αὐτὸ ἄρα, τουτέστι κατὰ τὸ ἄνθρωπος, πολλοὶ οὐ δύνανται εἶναι. λέγονται δὲ πολλοὶ ἄνθρωποι καταχρηστικῶς δηλονότι καὶ οὐ κυρίως· τὸ δὲ καταχρηστικῶς λεγόμενον διαφθείρειν οὐκ ἄξιον οὐδὲ ἱκανὸν παρὰ

ΦΛΨ J 1 προσώπου: προσώποις Ψ 3 ὡς: εἰς J v 5 καὶ τὸ αὐτὸ πρόσωπον J v οὗπερ: οὗ J v ὁ J v: om ΦΛΨ 6 δὴ om J v 8 τεθαρρηκότως om J v ἐπεὶ J v αὐτοῖς J v: αὐτῷ ΦΛΨ 9 διαιρεῖται J v διήρηται ἀλλήλων: ἀλλ. δ. Ψ 10 οὐ ante πάθει: οὐδὲ Ψ 12 καὶ ὁ: ὁ J v 13 οὔτε correxi: οὐδὲ libri v 14 οὔτε correxi: οὐδὲ libri v παρακρούει corr Jaeger: παρασκευάζει libri v 16 πολλὰ om Φ 17 verba ὅτι — αἰτίας om J v αἰτίας ante καὶ om Ψ 18-19 verba φαμεν — δῆλον om J v 19 κατὰ τὸ αὐτὸ ΦΨ: καὶ κατὰ τὸ αὐτὸ Λ, γὰρ κατὰ ταὐτὸν J v 20 δυνατὸν J v δὴ Λ 21 ὁμολογουμένως om J v 21-22 verba εἷς — τὸ ἄνθρωπος: ἓν Λ 22 κατὰ τὸ αὐτὸ ἄρα: καὶ κατὰ τὸ αὐτὸ J v 23 ante οὐ add δὲ $Λ^2$ 24 δῆλον ὅτι om J v 25 verba διαφθείρειν — παρὰ: οὐκ ἂν J v

τοῖς εὖ φρονοῦσι τὸ κυρίως τε ὂν καὶ λεγόμενον. οὐκ ἄρα λεκτέον ἐπὶ τῶν τριῶν προσώπων τῆς θείας οὐσίας τρεῖς θεούς, ἐπεὶ κατὰ τὸ θεὸς εἷς ἐστι θεὸς καὶ ὁ αὐτὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας, ἧς ἐστι τὸ θεὸς σημαντικὸν κατὰ τὸν εἰρημένον τρόπον.

181 M. Εἰ δὲ λέγοι τις, ὅτιπερ ἡ γραφὴ συναριθμεῖ τρεῖς ἄνδρας λέγουσα, κατὰ περιουσίαν ἐκ τῶν ἡμετέρων ἡμᾶς ἐλέγξαι πειρώμενος, οὐκ ὀρθὸς οὐδὲ ὅσιος πέφανται τῆς γραφῆς ἀκροατὴς ὁ τοιοῦτος· οὗτος γὰρ ἂν οὐδὲ ἐκίνει πρὸς ἡμᾶς λόγους περὶ τοῦ εἰ δεῖ λέγειν τρεῖς θεοὺς τὰ τῆς θείας οὐσίας τρία πρόσωπα συνορῶν μάλιστα, ὅτι πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα διδοῦσα ἡ γραφὴ καὶ θεὸν λόγον, θεὸν μὴ λόγον (τουτέστι θεὸν πατέρα), θεὸν ἅγιον πνεῦμα [θεὸν] παραδιδοῦσα καθόλου παραιτεῖται τρεῖς θεοὺς εἰπεῖν, ἀσέβειαν ἡγουμένη τὴν πολυθεΐαν καὶ ἕνα θεὸν διόλου κηρύττουσα μήτε τὰ πρόσωπα συμφύρουσα μήτε τὴν θεότητα διαιροῦσα, φυλάττουσα δὲ μᾶλλον ταυτότητα θεότητος ἐν ἰδιότητι ὑποστάσεων ἤγουν προσώπων τριῶν. εἰ τοίνυν ὀρθὸς ἦν ὁ τοιοῦτος καὶ τοῦ δικαίου λόγον ἐποιεῖτο, ταῦτα κατανοῶν ἐκ τῆς γραφῆς τὰ ἴδια κυροῦν οὐκ ἔσπευδεν, ἐπυνθάνετο δὲ μᾶλλον τὴν αἰτίαν μαθεῖν αἰτούμενος, δι' ἣν τρεῖς ἄνδρας λέγει ἡ γραφὴ καίπερ ἕνα ἄνθρωπον τὴν σύμπασαν φύσιν γινώσκουσα κατὰ τὸ Ἄνθρωπος ὡσεὶ

6 Gen 18, 2 et passim 23 Ps 102, 15

ΦΛΨ J 1 τὸ: τοῦ J v verba τε — λεγόμενον: προτιμηθείη J v οὐκ ἄρα: διὸ οὐ J v 4 ἧς Ψ J Λ²: εἷς ΦΛ τὸ om Λ¹, add Λ² 5 verba κατὰ — τρόπον: καθὼς εἴπομεν J v 6 ὅτιπερ: καὶ πῶς J v 7 λέγουσα om J v 7-11 verba ἐκ — μάλιστα: ὁράτω J v 8 θείας ante γραφῆς add Ψ 9 οὗτος correxi: οὕτω 12 διδοῦσα J v: ἰδοῦσα ΛΨ, εἰδοῦσα Φ ἡ: ἡ θεία ΦΨ θεοῦ λόγον Λ 13 ἅγιον πνεῦμα: πν. ἅγ. J v θεὸν post πνεῦμα seclusi 17 τῆς ante ἐν add J 18 ἤγουν προσώπων τριῶν: ἢ ὡς τριῶν προσώπων J v 18-21 verba τοίνυν — αἰτούμενος: δὲ βούλεται ὁ τοιαῦτα λέγων μαθεῖν τὸ ἀληθές, γινωσκέτω J v 22 δι' ἣν τρεῖς ἄνδρας: ὡς τρεῖς J v λέγη Φ 23 τὴν σύμπασαν φύσιν om J v

χόρτος αἱ ἡμέραι αὐτοῦ ἑνικῶς τὸ κοινὸν τῆς φύσεως ἐκφωνήσασα· τὸ προσὸν γὰρ τῷ κοινῷ τῆς φύσεως ἀποφαινομένη καθ' ἑνὸς αὐτὸ εἶπε διὰ τὸ ἕνα γινώσκειν ἄνθρωπον τὸν σύμπαντα ἄνθρωπον καὶ οὐ πολλούς· ἤκουε γὰρ φιλομαθῶς ἐρωτῶν, ὅτι καὶ ἡ γραφὴ ὡς τροφὸς ἀγαθὴ ἴδια βρέφη γινώσκουσα τοὺς ἀνθρώπους ἔστιν ὅτε συμψελλίζει αὐτοῖς ὡσαύτως χρωμένη τισὶ τῶν ὀνομάτων οὐ παρατιτρώσκουσα τὸ τέλειον δηλονότι καὶ τοὺς τροφῆς μεταλαμβάνειν δυναμένους στερεᾶς ἀδικοῦσα· οὐ γὰρ δόγματα τὰ ψελλίσματα ὁριζομένη τὰ τέλεια καταβλάπτει, ἀλλὰ συγκαταβαίνουσα τοῖς νηπίοις δι' εὐσπλαγχνίαν καὶ μιμουμένη τὰ ἐκείνων οὕτως ἀνάγει πρὸς ἑαυτὴν εἰς τελειότητα ἡλικίας ἄγουσα. ὁρίζεται δὲ ὅμως καὶ δογματίζει τὰ τέλεια κατὰ τὸ ἑαυτῇ πρέπον καὶ τοὺς μαθητευομένους προσῆκον διδάσκεσθαι. ἀμέλει ὅτι ὦτα καὶ ὀφθαλμοὺς καὶ στόμα καὶ τὰ λοιπὰ δὴ μόρια σωματικὰ λέγουσα ἔχειν τὸν θεὸν οὐ δόγμα τὸ τοιοῦτο παραδίδωσι σύνθετον ἐκ διαφόρων μελῶν ὁριζομένη τὸ θεῖον, ἀλλὰ κατὰ τὸν εἰρημένον τρόπον ἐκ μεταφορᾶς τῶν ἡμετέρων λαμβάνουσα τὰ τοιαῦτα πρὸς ἀναγωγήν, ὡς εἶπον, τῶν μὴ ἀμέσως ἐπὶ τὰ ἀσώματα χωρεῖν δυναμένων στερεαῖς τισι καὶ τρανοτάταις ταῖς λέξεσι τὰ δόγματα ἐκτίθεται, πνεῦμα λέγουσα τὸν θεὸν εἶναι καὶ πανταχοῦ, ἔνθα τις πορευθείη, παρεῖναι τὸ ἁπλοῦν αὐτοῦ καὶ ἀπερίγραφον τούτους σοφῶς

ΦΛΨ J 1-5 verba ἑνικῶς — γραφὴ om J v   2 πρὸς ὃν Λ τὸ κοινὸν Λ   5 ὡς: οἷα J v   ἴδια: καὶ ἴδια J v   6 γινώσκουσα τοὺς ἀνθρώπους: τ. ἀ. λογιζομένη J v   ἔστιν ὅτε: καὶ ἐνίοτε J v   συμψελλίζει αὐτοῖς: αὐτοῦ συμψελλίζουσα J v   7 ὡσαύτως: καὶ ὁμοίως J Λ²   τισι τῶν ὀνομάτων: ἐκείνοις τῶν ὀνομάτων τισὶν J v   παραγινώσκουσα J v   8-15 verba δῆλον ὅτι — ὅτι: ἡ αὐτὴ γὰρ καὶ J v   8 μεταλαμβάνον, ut videtur, Λ²   8-9 δυναμένους om Λ   9 ψελλίσματα Φ: συμψελλίσματα cet v   12 τελεότητα Λ   14 προσῆκον Ψ: προσήκει ΦΛ   16 λέγουσα ἔχειν ΦΛ¹Ψ: λέγει ἔχειν Λ², ἔχειν λέγουσα J v   τοιοῦτον Λ   17 ἐκ διαφόρων μελῶν om J v   19 λαμβάνουσα τὰ τοιαῦτα om J v   ὡς εἶπον om J v   20-21 verba στερεαῖς — λέξεσι om J v   20 στερραῖς Λ   22 τις Λ² J v: τισι Λ¹ Φ, τις εἰ Ψ   23 ἀπερίγραπτον Λ   23-28, 1 τούτους σοφῶς ἐκπαιδεύουσα: ἡμᾶς ἐκδιδάσκουσα J v

ἐκπαιδεύουσα. οὕτως καὶ τρεῖς ἄνδρας λέγουσα διὰ συνήθειαν, ἵνα μὴ ξενίζῃ τὸ κοινὸν καὶ ἐν χρήσει τῶν πολλῶν ὑπάρχον, καὶ ἕνα φησὶ δι' ἀκρίβειαν, ἵνα μὴ παρασαλεύσῃ τὸ τέλειον καὶ ἐν τῇ φύσει τῶν πραγμάτων θεωρούμενον· καὶ τὸ μὲν ἡγούμεθα συγκατάβασιν ἐπὶ χρησίμῳ καὶ συμφέροντι τῶν νηπιωδεστέρων γεγενημένην, τὸ δὲ ὁριζόμεθα δόγμα ἐπὶ βεβαιώσει καὶ παραδόσει τῆς τελειότητος ἐκτιθέμενον.

Ἀλλά τινες συζητητικοὶ ὑπάρχοντες καὶ διεγηγερμένοι πρὸς τὸ μηδὲν ἐᾶν ἀναντίρρητον ἐπὶ τῷ καὶ τοὺς λέγοντας καὶ τοὺς ἀκροωμένους, ὡς ἔγωγε φαίην ἄν, φιλοπόνως γυμνάσαι παρορῶντες τὸ παρ' ἡμῶν λελεγμένον καὶ τὸ μὴ δεδομένον ὡς ὁμολογούμενον λαμβάνοντες παραλογισμῷ τε χρώμενοι τὸ δοκοῦν κατασκευάζουσι καί φασιν, ὅτι ὥσπερ λέγομεν ὑπόστασις ὑποστάσεως, ᾗ ὑπόστασις, τουτέστι καθὸ ὑπόστασις, οὐδὲν διαφέρει, καὶ οὐ παρὰ τοῦτο μία ὑπόστασις αἱ πᾶσαι ὑποστάσεις· καὶ πάλιν οὐσία οὐσίας, ᾗ οὐσία, οὐδὲν διαφέρει, καὶ οὐ παρὰ τοῦτο μία οὐσία αἱ πᾶσαι οὐσίαι, οὕτως ἂν εἴποιμεν θεὸς θεοῦ, ᾗ θεός, οὐδὲν διαφέρει, καὶ οὐ διὰ τοῦτο εἷς θεὸς αἱ τρεῖς ὑποστάσεις, καθ' ὧν τὸ θεὸς κατηγορεῖται· καὶ πάλιν ἄνθρωπος ἀνθρώπου, ᾗ ἄνθρωπος, οὐδὲν διαφέρει λέγοντες οὐκ ἀναιροῦμεν τὸ τρεῖς ἀνθρώπους εἶναι Πέτρον καὶ Παῦλον καὶ Βαρνάβαν· διαφέρει γὰρ οὐσία οὐσίας οὐ καθὸ οὐσία, ἀλλὰ καθὸ τοιάδε οὐσία καὶ ὑπόστασις ὑποστάσεως καθὸ τοιάδε ὑπόστασις·

ΦΛΨ J 3 παρασαλεύῃ J v 4 θεωρουμένη J v 6 γεγενημένον J v 7 δόγματα Φ παραδώσει Φ 9-14 verba τινες — φασίν: πάλιν φασίν τινες J v 9 συζητητικοὶ Ψ: συζητικοὶ ΦΛ 10 ἀντίρρητον Λ¹ ἐπὶ τῷ ΨΛ²: ἐπὶ τὸ ΦΛ¹ 11-12 φιλεπόνως Λ¹, corr Λ²: φιλεπαίνως cet v 12 ἡμῶν λελεγμένον: ἡμῖν λεγόμενον Λ 13 δεδογμένον Ψ 15 ᾗ Ψ J Λ² v: ἢ ΦΛ¹ 16 verba τουτέστι — ὑπόστασις om J v 17 πάλιν: ὥσπερ J v 18 ᾗ οὐσία om J v, ἡ Λ¹, corr Λ² οὐ ante μία add Φ 19 οὕτως: οὔτε Λ ᾗ θεός om J v 20 καὶ om ΦΛΨ 22 ᾗ ἄνθρωπος om J v διαφέρειν Ψ τὸ J v: τότε 25 verba ὑποστάσεως — ὑπόστασις om Φ

ὡσαύτως καὶ ἄνθρωπος ἀνθρώπου, ἢ τοιόσδε ἄνθρωπος, καὶ πάλιν θεὸς θεοῦ, ἢ τοιόσδε θεός· τὸ δὲ τοιόσδε ἢ τοιόσδε ἐπὶ δύο ἢ καὶ πλειόνων εἴωθε λέγεσθαι. ἀλλὰ ταῦτα μέν, ὡς εἴπομεν, ἐκεῖνοι λέγουσιν· ἡμεῖς δὲ δείξομεν σόφισμα τὸ πᾶν εἶναι καὶ οὐδὲν ἕτερον τὸ λελεγμένον, οὐδαμῶς ἄλλως περιγινόμενοι ἀλλ' ἢ αὐτοῖς τοῖς εἰρημένοις κεχρημένοι καὶ δεικνύντες μὴ δεῖν τὸν τοιόνδε θεὸν καὶ τοιόνδε θεὸν ἢ τοιόνδε ἄνθρωπον καὶ τοιόνδε λέγειν· ἀλλ' εἰ ἄρα τοιάνδε ὑπόστασιν θεοῦ καὶ τοιάνδε ὑπόστασιν ἀνθρώπου· πολλὰς γὰρ ὑποστάσεις τοῦ ἑνὸς ἀνθρώπου καὶ τρεῖς ὑποστάσεις τοῦ ἑνὸς θεοῦ φαμεν δικαίως. τὸ μὲν οὖν τοιόσδε λεγόμενον διακρῖναι βούλεται τί τινος κοινωνοῦντος κατ' ἐκεῖνο τοὔνομα, ᾧ τὸ τοιόσδε προστίθεται· οἷον ζῷον τοιόνδε φαμὲν τὸν ἄνθρωπον
184 M. διακρῖναι βουλόμενοι τοῦ ἵππου, φέρε εἰπεῖν, κοινωνοῦντος αὐτῷ κατὰ τοὔνομα τοῦ ζῴου, διαφέροντος δὲ τῷ λογικῷ καὶ τῷ ἀλόγῳ. διακρίνεται δέ τί τινος ἢ οὐσίᾳ ἢ ὑποστάσει ἢ οὐσίᾳ καὶ ὑποστάσει· καὶ οὐσίᾳ μὲν διακέκριται ὁ ἄνθρωπος τοῦ ἵππου, ὑποστάσει δὲ Παῦλος Πέτρου, οὐσίᾳ δὲ καὶ ὑποστάσει ἥδε ἡ ὑπόστασις τοῦ ἀνθρώπου τῆσδε τῆς ὑποστάσεως τοῦ ἵππου. ἀλλὰ φανερουμένου τοῦ λόγου τῶν κατ' οὐσίαν ἁπλῶς καὶ τῶν καθ' ὑπόστασιν καὶ οὐ κατ' οὐσίαν διαφερόντων πρόδηλος ἔσται καὶ ὁ περὶ τῶν κατ' οὐσίαν ἅμα καὶ ὑπόστασιν διακεκριμένων. περὶ τούτων οὖν ἡμῖν ἐξεταζέσθω ὁ λόγος· ὅτι μὲν γὰρ καὶ τὰ διαφέροντα κατ' οὐσίαν λέγονται δύο ἢ τρεῖς οὐσίαι καὶ τὰ διαφέροντα καθ' ὑπόστασιν ὡσαύτως λέγονται δύο καὶ τρεῖς ὑποστάσεις,

ΦΛΨ J 1 ὡσαύτως om J v τοσόσδε Λ 2 τὸ post πάλιν add Λ 3 πλειόνων ἢ καὶ δύο Ψ 4 ὡς εἴπομεν om J v εἴπομεν Vatic gr 448: εἴποιεμεν Φ, ἂν εἴποιεν ΛΨ λέγουσιν om J v 5-6 verba καὶ — ἢ om J v 5 λεγόμενον Λ οὐδαμῶς ἄλλως correxi: οὐδαμῶς σε ἄλλως σε Φ Λ^2, οὐδαμόσε ἄλλοσε Λ^1Ψ 6 περιγινόμενοι correxi: παραγινόμενοι Φ Ψ Λ^1, παραγινόμενον Λ^2 8 εἰ ΦΛ: ἢ J Ψ, 11 τοιόνδε J v 12 τὸ J v: om ΦΛΨ 16 ἢ pr: ἡ ΦΛ ἢ ὑποστάσει: ἢ ὑπόστασις J v 17 καὶ ante οὐσίᾳ om Λ διακρίνεται J v 19 ἥδε: ἥ ἐστιν J v ἡ om Φ 22 περὶ: παρὰ J v 23 ἅμα καὶ ὑπόστασιν om J v 26 τὰ ante καθ' add J v

ὁμολογοῦσι καὶ αὐτοὶ καὶ ἡμεῖς· διαφερόμεθα δέ, ὅτι ἐπὶ μὲν Πέτρου καὶ Παύλου φασὶ δεῖν <δύο> λέγειν ἀνθρώπους, ἡμεῖς δὲ οὐ κυρίως μέντοι καὶ κατὰ τὸν ἐπιστημονικὸν λόγον· οὐδὲ εἷς γὰρ νῦν ἡμῖν λόγος περὶ κοινῆς καὶ καταχρηστικῆς χρήσεως· αὕτη γὰρ οὔτε πρὸς ἀναίρεσίν τινος οὔτε πρὸς σύστασιν ἰσχύει. σαφηνιζέσθω τοιγαροῦν πρότερον ἡμῖν, τὸν ἄνθρωπον καὶ τὸν ἵππον ἢ τὸν ἵππον καὶ τὸν κύνα τίνος χάριν διαφέρειν λέγομεν καθὸ τοιάσδε οὐσίας. ἢ πρόδηλον ὅτι ἐπειδὴ διαφέρουσιν ἀλλήλων κατὰ τὰ χαρακτηρίζειν οὐσίας εἰωθότα, οἷον λογικῷ καὶ ἀλόγῳ, χρεμετιστικῷ, ὑλακτικῷ καὶ εἴ τινι τοιούτῳ. τῷ γὰρ λέγειν οὐσίαν τοιάνδε οὐδὲν ἕτερον λέγομεν ἢ ὕπαρξιν ζωῆς μετέχουσαν πρὸς ἀντιδιαστολὴν τῆς μὴ τοιαύτης, ὕπαρξιν λογικεύεσθαι πεφυκυῖαν πρὸς διάκρισιν ἀλογίᾳ διαφερούσης, ὕπαρξιν τὸ χρεμετιστικὸν ἔχουσαν χαρακτηριστικόν, καὶ εἴ τι τοιοῦτον. ἀντὶ γὰρ τοιούτων διαφορῶν καὶ ἰδίων προστίθεται τῇ οὐσίᾳ ἢ καὶ παντὶ γένει πρὸς διάκρισιν τῶν ὑπ᾽ αὐτὸ εἰδῶν τὸ τοιάδε καὶ τοιόνδε οἷον τοιάδε οὐσία ἀντὶ τοῦ αἰσθητικὴ ἢ ἀναίσθητος, τοιόνδε ζῷον ἀντὶ τοῦ λογικὸν ἢ ἄλογον. καὶ πάλιν λέγομεν· διαφέρει Παῦλος Πέτρου, καθὸ τοιάδε ὑπόστασις ἑκάστῳ αὐτῶν, ἐπειδὴ διαφέρουσιν ἀλλήλων κατά τινα τῶν ὑπόστασιν καὶ οὐκ οὐσίαν συνιστᾶν πεφυκότων, οἷον φαλακρότητι, μακρότητι, πατρότητι, υἱότητι καὶ εἴ τινι

ΦΛΨ J 2 δύο addidi 3 μέντοι om J v, μέντι Λ 4 ad οὐδὲ εἷς cf οὐδὲ μιᾶς in Ad Eust p 13, 18 νῦν ἡμῖν λόγος: λόγος νῦν J v περὶ: παρὰ J v τε add ante καὶ J v 5 οὔτε pr correxi: οὐδὲ libri v οὔτε alt J v: οὐ ΦΛ^{1}, οὐδὲ ΨΛ^{2} 6 σαφηνιζέσθω J Λ^{2} v: σαφηνίσθω ΦΛ^{1}Ψ τὸν Λ^{2}: om cet v 8 τοιάσδε οὐσίας correxi: τοιάδε οὐσία 9 ἐπεὶ J v κατὰ τὰ Λ^{2}: τὰ κατὰ τὰ ΦΛ^{1}, τῷ κατὰ τὰ Ψ, κατὰ τὸ J v χωρίζειν J v 10-11 λογικὰ . . . ὑλακτικὰ . . . τι τοιοῦτον Λ^{2} 11 τῷ Λ^{2}: τὸ 13 ἢ ante ὕπαρξιν add Ψ λογίζεσθαι J v 14 ἀναλογίᾳ Λ φερούσης Φ ἢ ante ὕπαρξιν add J v 15 τοιοῦτον Ψ^{2} J v: om ΦΛ 16 διαφορῶν Λ J v: διαφόρων ΦΨ προτίθεται J v 18 τοιᾶδε Φ καὶ: ἢ J v 20 διαφέρειν Λ Πέτρος Παύλου J v 20-21 τοιάνδε ὑπόστασιν Λ 21 ἐπεὶ J v 22 οὐκ om Φ^{1}, add Φ^{2} 23-31, 1 φαλακρότητα . . . τοιοῦτον J v 23 φαλακρότητα Λ

τοιούτῳ· πρόδηλον γάρ, ὡς οὐ ταὐτὸν εἶδος καὶ ἄτομον, τουτέστιν οὐσία καὶ ὑπόστασις· λέγων γάρ τις ἄτομον, τουτέστιν ὑπόστασιν, εὐθὺς τὴν διάνοιαν τοῦ ἀκροωμένου παραπέμπει πρὸς τὸ ζητῆσαι οὖλον, γλαυκόφθαλμον, υἱόν, πατέρα καὶ εἴ τι ὅμοιον· λέγων δὲ εἶδος, τουτέστιν οὐσίαν, πρὸς τὸ γνῶναι δηλονότι, ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, ζῷον ἄλογον, θνητόν, χρεμετιστικὸν καὶ τὰ τοιαῦτα. εἰ δὲ μὴ ταὐτὸν οὐσία καὶ ἄτομον, ὅπερ ἐστὶν ὑπόστασις, οὐδὲ ταὐτὰ τὰ χαρακτηρίζοντα ταύτην τε κἀκείνην. εἰ δὲ καὶ ταῦτα οὐ ταὐτά, οὐδὲ τοῖς αὐτοῖς ὀνόμασι δυνατὸν συνάπτεσθαι· ἀλλὰ τὰ μὲν τοῖς κατ' οὐσίας ἢ οὐσιῶν κειμένοις,
185 M. τὰ δὲ τοῖς κατὰ ἄτομον λεγομένοις. τρία τοίνυν ἐστὶν ὀνόματα, περὶ ὧν ἡ ζήτησις· οὐσία, ἄτομον, ἄνθρωπος. καὶ τῇ μὲν οὐσίᾳ συνάπτομεν τὸ τοιάδε πρὸς διάκρισιν, ὡς εἶπον, τῶν ὑπ' αὐτὴν εἰδῶν κατ' οὐσίαν ἀλλήλων διαφερόντων· τῇ δὲ ὑποστάσει πάλιν ὁμοίως τὸ τοιάδε συζεύγνυμεν πρὸς διαίρεσιν προσώπων τῶν ἀλλήλοις κοινωνούντων τούτου τοῦ ὀνόματος, τουτέστι τῆς ὑποστάσεως, καὶ διαφερόντων ἀλλήλων οὐ τοῖς οὐσίαν χαρακτηρίζουσιν, ἀλλὰ τοῖς λεγομένοις συμβεβηκόσιν. τίνι οὖν βούλονται τρόπῳ συνάψαι τῷ ἄνθρωπος ὀνόματι τὸ τοιόσδε; (ἐκ γὰρ τῶν κοινῶς ὁμολογουμένων τὰ ἀμφιβαλλόμενα δέχεται τὴν λύσιν.) ὡς τῇ οὐσίᾳ; ἔσται οὖν τὰ ὑπ' αὐτὸν οὐσιώδει διαφορᾷ διακεκριμένα ἀλλήλων; ὅπερ οὐκ ἔστιν· οὐδὲν γὰρ διαφέρει κατ' οὐσίαν Παῦλος Πέτρου, καθ' ὧν κατηγορεῖται τὸ ἄνθρωπος. ἀλλ' ὡς τῇ ὑποστάσει; προσώπου ἄρα δηλωτικὸν τὸ ἄν-

ΦΛΨ J 2-3 verba λέγων — ὑπόστασιν: ἡ γὰρ ὑπόστασις J v 3 ὑπόστιν Φ εὐθὺς Ψ J v: εὐθὺ ΦΛ 4 οὐλήν, γλαυκόν, πατέρα, υἱόν J v 5 λέγω J v 7 ἄλογον: μὴ λογικὸν J v θνητὸν om Λ τὰ τοιαῦτα J v: τὸ τοιοῦτον ΦΨ, τοιοῦτον Λ 9 οὐδὲ: εἰ δὲ Φ 10 ταῦτα: ταύτην J v οὐ ταὐτά om Λ 12 τὰ Ψ J v: τὸ ΦΛ 13 ἄτομον Vat gr 448 (cf p 22, 21; 29, 4) J v: ἄτομα 14 τὰ Λ καὶ συζεύγνυμεν post τοιάδε add J v 16 συζεύγνοιμεν Φ 18 καὶ om J v 19 οὐσίας J v 20 τρόπῳ: προσώπῳ Λ 21 τοιόνδε J v γὰρ τῶν J v: τῶν γὰρ cet 23 οὖν om J v αὐτῶν Λ οὐσιώδη ΦΛ[1]

θρωπος καὶ οὐκ οὐσίας, ὅπερ ἄτοπον λέγειν· τὸ κοινὸν γὰρ τῆς οὐσίας σημαίνει τὸ ἄνθρωπος καὶ οὐκ ἰδικὸν πρόσωπον, Παύλου, φέρε εἰπεῖν, ἢ Βαρνάβα. οὐκ ἄρα οὐδενὶ τρόπῳ τὸ τοιόσδε συνάπτεται τῷ ἄνθρωπος κατά γε τὸν ἐπιστημονικὸν λόγον. εἰ δὲ ἡ κοινὴ χρῆσις ἀπορεῖ τούτου καὶ κατακέχρηται τοῖς τῆς οὐσίας ὀνόμασι εἰς προσώπου δήλωσιν, οὐδὲν πρὸς τὸν ἀκριβῆ κανόνα τῆς λογικῆς ἐπιστήμης. ἀλλὰ τί κατατρέχω τῆς συνήθους καταχρήσεως ἀπορούσης εἰς τὰ τοιαῦτα λανθάνων, ὅτι καὶ οἱ ἐπιστημονικοὶ τῶν λόγων λόγοις προσφόροις φράσαι τὸ νοηθὲν πολλάκις οὐκ εὐποροῦντες ἑτέροις καὶ αὐτοὶ καταχρηστικοῖς χρῶνται ὀνόμασι πρὸς παράστασιν τοῦ λεγομένου; πλὴν ἐκεῖνο σαφὲς ἡμῖν ἔστω, ὅτιπερ, εἰ ἐλέγομεν ἐπὶ Πέτρου καὶ Παύλου ἄνθρωπος ἀνθρώπου, ἢ ἄνθρωπος, οὐδὲν διαφέρει, ἀλλ' ἢ τοιόσδε ἄνθρωπος, καὶ οὐσία οὐσίας, ἢ οὐσία, οὐδὲν διαφέρει, ἀλλ' ἢ τοιάδε οὐσία, λέγειν ἐπ' αὐτῶν ἠδυνάμεθα. εἰ δὲ τοῦτο λέγειν μὴ δυνατόν, ἐπεὶ μία καὶ ἡ αὐτὴ οὐσία Πέτρου καὶ Παύλου, οὐδὲ ἄρα οὐδὲ ἐκεῖνο, ἐπείπερ οὐσίας δηλωτικὸν τὸ ἄνθρωπος ὄνομα· εἰ δὲ τὸ τοιόσδε καὶ τοιόσδε οὐκ ἀκόλουθον συνάψαι τῷ ἄνθρωπος ὀνόματι, οὐδ' ἄρα οὐδὲ δύο ἢ τρεῖς κυρίως λέγομεν ἀνθρώπους. καὶ εἰ ἐπὶ τοῦ ἀνθρώπου ταῦτα δέδεικται, πόσῳ μᾶλλον ἐπὶ τῆς ἀϊδίου καὶ θείας οὐσίας κυριώτερον ἁρμόσει τὸ μὴ τοιόνδε θεὸν καὶ τοιόνδε λέγεσθαι τῶν ὑποστάσεων ἑκάστην μηδὲ θεὸν καὶ θεὸν καὶ θεὸν ἐκφωνεῖσθαι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα μηδὲ τρεῖς θεούς, κἂν τῇ ἐνθυμήσει, δογματίζεσθαι.

ΦΛΨ J 1 καὶ om J v 3 φέρε Παύλου Λ 4 συνέπεται J v τῷ Ψ J v: τὸ ΦΛ 5 ἡ om J v ἀπορεῖ corr Jaeger: ἀποροίη libri 6 τῆς: τοῖς Φ 7 οὐδὲ Φ[1], corr Φ[2] γὰρ post οὐδὲν add Λ[1], del Λ[2] 8 χρήσεως Ψ 9 μανθάνων Ψ 9-10 verba καὶ — νοηθέν om J v τῶν λόγων: λόγοι Ψ 11-12 καταχρώμεθα ὀνόμασι καταχρηστικοῖς J v 14 ἢ bis: ἡ ΦΛ[1] 17 μία om J v 19 τὸ J (evanuit): om ΦΛΨ τοιόσδε ante καὶ ΦΛΨ: τοιάδε J (evanuit), v 23 μὴ J v: μηδὲ τοιόνδε θεὸν καὶ τοιόνδε correxi: τοιόσδε θεὸς καὶ τοιόσδε libri v 26 θεούς om J v ἐν post κἂν add J v

συνέστηκεν ἄρα τῷ πρὸς ἡμῶν καὶ δικαίῳ καὶ ἀκολούθῳ καὶ ἐπιστημονικωτάτῳ λόγῳ, ὡς ἕνα θεόν φαμεν τὸν τῶν ἁπάντων δημιουργόν, εἰ καὶ ἐν τρισὶ προσώποις ἤγουν ὑποστάσεσι θεωρεῖται — πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

ΦΛΨ J 1 οὖν ante ἄρα add J v τὸ ΦΛ 2 φαμὲν θεὸν Λ τῶν J: om ΦΛΨ 3 εἰ om Λ v ἤγουν: ἢ ὡς J v 4 καὶ ante υἱοῦ om Ψ

AD ABLABIUM
QUOD NON SINT TRES DEI

CONSPECTUS SIGLORUM

(Quod non sint tres dei)

C codex Vaticanus gr. 448 membranaceus saec. X

A codex Venetus Marcianus gr. 68 membranaceus saec. XII

S codex Vaticanus gr. 1907 chartaceus saec. XII (XIII)

O codex Monacensis gr. 370 membranaceus saec. X

M codex Ambrosianus C 135 inf. membranaceus saec. XI

K codex Venetus Marcianus gr. 67 membranaceus saec. XI

P codex Vaticanus Pii II 4 membranaceus saec. XI

syr versionis Syriacae codicum Musei Britannici
a = 768, Add. 14 618, saec. VII/VIII;
b = 815, Add. 14726, saec. X;
c = 857, Add. 12 155, anni 746/7
retroversio graeca Hermanni Langerbeck

exc excerptor (= codex Vindobonensis theol. gr. 35 (J) chartaceus saec. XIII)

v textus vulgatus editionis Parisinae (1638) et Mignei

1 aut 2 sigillo additum manum primam aut secundam codicis significat

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΠΕΡΙ ΤΟΥ ΜΗ ΟΙΕΣΘΑΙ ΛΕΓΕΙΝ ΤΡΕΙΣ ΘΕΟΥΣ ΠΡΟΣ ΑΒΛΑΒΙΟΝ

116 M. Ὑμᾶς μὲν δίκαιόν ἐστι, τοὺς ἀκμάζοντας ἐν πάσῃ δυνάμει κατὰ τὸν ἔσω ἄνθρωπον, πρὸς τοὺς ἐναντίους τῆς ἀληθείας διαγωνίζεσθαι καὶ μὴ κατοκνεῖν πρὸς τοὺς πόνους, ὅπως ἂν ἡμεῖς οἱ πατέρες τοῖς γενναίοις ἱδρῶσι τῶν τέκνων ἐπευφραινώμεθα· τοῦτο γὰρ ὁ τῆς φύσεως ὑποτίθεται νόμος· ἐπεὶ δὲ ἀναστρέψας τὴν τάξιν ἐφ' ἡμᾶς τρέπεις τὰς προσβολὰς τῶν ἀκίδων, αἷς οἱ ἀντικείμενοι τῇ ἀληθείᾳ βάλλουσι, καὶ κελεύεις τῷ θυρεῷ τῆς πίστεως παρ' ἡμῶν τῶν γερόντων κατασβέννυσθαι τοὺς ἐρημικοὺς ἄνθρακας καὶ ἀποπέμπεσθαι τὰ ἠκονημένα τῆς ψευδωνύμου γνώσεως βέλη, δεχόμεθα τὸ ἐπίταγμα, σοὶ τύπος τῆς εὐπειθείας γινόμενοι, ὡς ἂν καὶ αὐτὸς ἡμῖν ἀντιπαρέχοις τὴν ἴσην ἐπὶ τῶν ὁμοίων ἐπιταγμάτων ἀντίδοσιν, εἴ ποτέ σε πρὸς τοὺς τοιούτους ἄθλους διαναστήσαιμεν, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα Ἀβλάβιε.

8 Eph 6, 16   9 Ps 119, 4

CAS OMKP syr exc v   **Tit** deletus est manu nefaria in M   γρηγορίου ἐπισκόπου νύσσης A: om S K, ante γρ. ἐπ. νύσσ. add τοῦ αὐτοῦ A, τοῦ αὐτοῦ solum habent C OP exc, τοῦ ἐν ἁγίοις ante γρ. ἐπ. νύσσ. add v   περὶ τοῦ μὴ οἴεσθαι λέγειν τρεῖς θεοὺς A OKP: διὰ τί μίαν θεότητα ἐπὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ὁμολογοῦντες (μὴ add syr a) τρεῖς θεοὺς λέγειν ἀπαγορεύομεν S syr, περὶ τῆς ἁγίας τριάδος C, διὰ τί μίαν θεότητα ἐπὶ πατρός, υἱοῦ καὶ πνεύματος λέγοντες τρεῖς θεοὺς οὐ λέγομεν (post πρὸς ἀβλάβιον) exc, περὶ τοῦ μὴ εἶναι τρεῖς θεοὺς v   πρὸς ἀβλάβιον CAS OMKP exc v: add μονάζοντα C   1-2 κατὰ τὸν ἔσω ἄνθρωπον (quibus verbis τοὺς ἀκμάζοντας sscr) ἐν πάσῃ δυνάμει exc   3 inc M   καὶ μὴ κατοκνεῖν: μὴ (vel οὐ) κατοκνοῦντας syr   6 ἐπειδὴ OMKP v   ἀνέστρεψας A syr, ἀντέστρεψας exc   ante ἐφ' add καὶ syr   τρέπεις C: τρέψας exc, πέμπεις cet   7 τὴν ἀλήθειαν CAS exc syr   9 ἀποπέμπεσθαι add exc, om cet   10 ante τῆς om διὰ exc: add cet   11 εὐπειθείας: ἀληθείας exc   γενόμενοι A, γιγνόμενοι K   12-13 (τὰς) ἴσας . . . ἀντιδόσεις syr   11-14 verba ὡς — διαναστήσαιμεν om exc

Ἔστι δὲ οὐ μικρὸς οὗτος ὁ λόγος ὃν προέτεινας ἡμῖν οὐδὲ τοιοῦτος ὡς ὀλίγην φέρειν ζημίαν, εἰ μὴ τῆς προσηκούσης ἐξετάσεως τύχοι. ἀνάγκη γὰρ ἐκ τῆς βίας τοῦ ἐρωτήματος ἑνὶ πάντως τῶν ἀπεμφαινόντων συνενεχθῆναι κατὰ τὸν πρόχειρον νοῦν καὶ ἢ τρεῖς λέγειν θεούς, ὅπερ ἀθέμιτον, ἢ μὴ προσμαρτυρεῖν τῷ υἱῷ καὶ τῷ πνεύματι τὴν θεότητα, ὅπερ 117 M. ἀσεβές τε καὶ ἄτοπον. τὸ δὲ λεγόμενον παρὰ σοῦ τοιοῦτόν ἐστιν· Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, ἐν μιᾷ ὄντες τῇ ἀνθρωπότητι, τρεῖς ἄνθρωποι λέγονται· καὶ οὐδὲν ἄτοπον τοὺς συνημμένους κατὰ τὴν φύσιν, εἰ πλείους εἶεν, ἐκ τοῦ τῆς φύσεως ὀνόματος πληθυντικῶς ἀριθμεῖσθαι. εἰ οὖν ἐκεῖ τοῦτο δίδωσιν ἡ συνήθεια καὶ ὁ ἀπαγορεύων οὐκ ἔστι δύο λέγειν τοὺς δύο καὶ τρεῖς τοὺς ὑπὲρ δύο, πῶς, ἐπὶ τῶν μυστικῶν δογμάτων τὰς τρεῖς ὑποστάσεις ὁμολογοῦντες καὶ οὐδεμίαν ἐπ' αὐτῶν τὴν κατὰ φύσιν διαφορὰν ἐννοοῦντες, μαχόμεθα τρόπον τινὰ τῇ ὁμολογίᾳ, μίαν μὲν τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος λέγοντες, τρεῖς δὲ θεοὺς λέγειν ἀπαγορεύοντες;

Ὁ μὲν οὖν λόγος, καθὰ προέφην, πολὺ τὸ δυσμεταχείριστον ἔχει· ἡμεῖς δέ, εἰ μέν τι τοιοῦτον εὕροιμεν, δι' οὗ τὸ ἀμφίβολον τῆς διανοίας ἡμῶν ἐρεισθήσεται, μηκέτι πρὸς τὸ διλήμματον τῆς ἀτοπίας ἐπιδιστάζον καὶ κραδαινόμενον,

CAS OMKP 1 post προέτεινας add εἰπὼν exc 1-7 verba ἡμῖν — ἐστιν om exc 3 τύχη P ἐρωτήματος: θεωρήματος OMKP v (cf 39,1 et 40,2 προβλήματος et ζητήματος eodem sensu) 4 ἓν OMKP v 5 καὶ om CAS post ἀθέμιτον add ἐστιν syr 10 κατὰ τὴν φύσιν: τῇ φύσει exc 12-13 verba καὶ — δύο om exc 13 λέγεσθαι syr 13-19 verba τῶν — καθὰ προ excisa in M 15 κατὰ φύσιν: τῆς φύσεως syr 17 τοῦ ter om C (an recte? cf 45,4) 18 λέγειν θεοὺς K 19 post λόγος add τοιοῦτος exc καθάπερ S, καθὼς v 19-20 verba καθὰ — ἔχει om exc δυσμεταχείριστός ἐστιν, sed corruptum videtur ex τὸ δυσμεταχείριστον ἔχει syr 20 ἔχει om v δι' οὗ: διὰ A 20-39, 2 verba εἰ — λόγος om exc 21 ἐρεισθήσεται S: ἐρισθήσεται C, εὑρεθήσεται A, ἐρεισθείη cet 21-39, 1 verba μηκέτι — ἔχοι inepte vertit syr 22 διλήμματον AS: δίλημμα τὸ cet ante τῆς add σειόμενον A (olim scil adscriptum ad κραδαινόμενον, quod sequitur) ἐπιδιστάζων C κραδινόμενος C, corr C[2]

εὖ ἂν ἔχοι· εἰ δὲ καὶ ἀτονώτερος ἐλεγχθείη τοῦ προβλήματος ὁ ἡμέτερος λόγος, τὴν μὲν παράδοσιν ἣν παρὰ τῶν πατέρων διεδεξάμεθα φυλάξομεν εἰς ἀεὶ βεβαίαν τε καὶ ἀκίνητον, τὸν δὲ συνήγορον τῆς πίστεως λόγον παρὰ τοῦ κυρίου ζητήσομεν· ὃς εἰ μὲν εὑρεθείη παρά τινος τῶν ἐχόντων τὴν χάριν, εὐχαριστήσομεν τῷ δεδωκότι τὴν χάριν· εἰ δὲ μή, οὐδὲν ἧττον ἐπὶ τῶν ἐγνωσμένων τὴν πίστιν ἀμετάθετον ἕξομεν.

Τί δήποτε τοίνυν ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ καθ' ἕνα τοὺς ἐν τῇ φύσει τῇ αὐτῇ δεικνυμένους ἀπαριθμήσαντες πληθυντικῶς ὀνομάζομεν, τοσούσδε λέγοντες τοὺς ἀνθρώπους καὶ οὐχὶ ἕνα τοὺς πάντας, ἐπὶ δὲ τῆς θείας φύσεως ἐκβάλλει τὸ πλῆθος τῶν θεῶν ὁ τοῦ δόγματος λόγος, καὶ ἀριθμῶν τὰς ὑποστάσεις καὶ τὴν πληθυντικὴν σημασίαν οὐ προσδεχόμενος;

Ἔστι μὲν οὖν κατὰ τὸ πρόχειρον τοῦτο τοῖς ἁπλουστέροις εἰπόντα δόξαι τι λέγειν, ὅτι φεύγων ὁ λόγος τῆς Ἑλληνικῆς πολυθεΐας τὴν ὁμοιότητα θεοὺς ἐν πλήθει ἀριθμεῖν παρῃτήσατο, ὡς ἂν μή τις καὶ τῶν δογμάτων νομισθείη κοινότης, εἰ μὴ μοναδικῶς ἀλλὰ πληθυντικῶς καὶ παρ' ἡμῶν ἀριθμοῖτο τὸ θεῖον καθ' ὁμοιότητα τῆς παρ' αὐτοῖς συνηθείας. τοῦτο δὲ τοῖς μὲν ἀκεραιοτέροις λεγόμενον ἴσως ἄν τι δόξειε λέγεσθαι, ἐπὶ δέ γε τῶν τὸ ἕτερον αὐτοῖς τῆς προτάσεως στῆναι ζητούντων ἢ μὴ ὁμολογεῖν ἐπὶ τῶν τριῶν τὴν θεότητα ἢ τρεῖς πάντως ὀνομάζειν τοὺς τῆς αὐτῆς κοινωνοῦντας

CAS OMKP 1 ἀνοτέρως A εὑρεθείη P 2 μὲν om exc 3 φυλάξωμεν C, φυλάττειν ὀφείλομεν exc εἰς ἀεὶ om exc 4 ζητήσομεν AS: ζητήσαντες exc, ζητήσωμεν cet 5-15 verba ὃς — λέγειν: τὸ δοθὲν ἡμῖν ἐκεῖθεν ἐροῦμεν καὶ ἔστιν εἰπεῖν κατὰ τὸ πρόχειρον exc 5 εὕροι syr b παρά τινι syr τὴν ante χάριν MKOP v: om cet 6 εὐχαριστήσωμεν A 9 τῇ αὐτῇ: ταύτῃ CAS syr 10 τόσους OMKP v, τοίους vel τοιούσδε syr οὐχ AS 12 καὶ om syr 13 προσδέχεται syr 15 δόξαι τι: ὀξὺ ἔτι C, om syr 15-16 verba τῆς — ὁμοιότητα: τὴν Ἑλληνικὴν (i e ἐθνικὴν) πολυθεΐαν ὁμοίως syr 18 καὶ om exc 19 αὐτῶν A OMKP v 19-40, 4 verba τοῦτο — λόγος: ἀλλὰ καὶ τοῦτο μὲν πρὸς τοὺς ἀκεραιοτέρους ἀρκέσει· πρὸς δέ γε τοὺς ἄλλως ζητοῦντας ἐπάναγκες διὰ πλειόνων ποιήσασθαι τὴν ἀπόκρισιν exc 21 post τῶν add ἄλλων OMKP v τῶν: τὸν A στῆσαι syr 22 ante μὴ add εἰ A

θεότητος, οὔπω τοιοῦτόν ἐστι τὸ εἰρημένον, οἷον ἐμποιῆσαι λύσιν τινὰ τοῦ ζητήματος. οὐκοῦν ἐπάναγκες διὰ πλειόνων ποιήσασθαι τὴν ἀπόκρισιν, ὅπως ἂν οἷόν τε ᾖ, τὸ ἀληθὲς ἀνιχνεύοντας· οὐ γὰρ περὶ τῶν τυχόντων ὁ λόγος.

Φαμὲν τοίνυν πρῶτον μὲν κατάχρησίν τινα συνηθείας εἶναι τὸ τοὺς μὴ διῃρημένους τῇ φύσει κατ᾽ αὐτὸ τὸ τῆς φύσεως ὄνομα πληθυντικῶς ὀνομάζειν καὶ λέγειν ὅτι πολλοὶ ἄνθρωποι, ὅπερ ὅμοιόν ἐστι τῷ λέγειν ὅτι πολλαὶ φύσεις
120 M. ἀνθρώπιναι. καὶ ὅτι ταῦτα οὕτως ἔχει, δῆλον ἂν ἡμῖν ἐντεῦθεν γένοιτο· προσκαλούμενοι γάρ τινα, οὐκ ἐκ τῆς φύσεως αὐτὸν ὀνομάζομεν, ὡς ἂν μή τινα πλάνην ἡ κοινότης τοῦ ὀνόματος ἐμποιήσειεν, ἑκάστου τῶν ἀκουόντων ἑαυτὸν εἶναι τὸν προσκληθέντα νομίζοντος, ὅτι μὴ τῇ ἰδιαζούσῃ προσηγορίᾳ ἀλλ᾽ ἐκ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος ἡ κλῆσις γίνεται· ἀλλὰ τὴν ἰδίως ἐπικειμένην αὐτῷ (τὴν σημαντικὴν λέγω τοῦ ὑποκειμένου) φωνὴν εἰπόντες, οὕτως αὐτὸν τῶν πολλῶν ἀποκρίνομεν, ὥστε πολλοὺς μὲν εἶναι τοὺς μετεσχηκότας τῆς φύσεως, φέρε εἰπεῖν μαθητὰς ἢ ἀποστόλους ἢ μάρτυρας, ἕνα δὲ ἐν πᾶσι τὸν ἄνθρωπον, εἴπερ, καθὼς εἴρηται, οὐχὶ τοῦ καθ᾽ ἕκαστον, ἀλλὰ τοῦ κοινοῦ τῆς φύσεώς ἐστιν ὁ ἄνθρωπος· ἄνθρωπος γὰρ ὁ Λουκᾶς ἢ ὁ Στέφανος, οὐ μήν, εἴ τις ἄνθρωπος, πάντως καὶ Λουκᾶς ἐστιν ἢ Στέφανος.

᾽Αλλ᾽ ὁ μὲν τῶν ὑποστάσεων λόγος διὰ τὰς ἐνθεωρουμένας

CAS OMKP 1 οἷονὶ A 2 τινὰ λύσιν OMKP v 3 ante τὸ add καὶ A 4 ὁ λόγος ἡμῶν καὶ syr a 5 μὲν om v 6 post αὐτὸ add τοῦτο S 7 et 9 ὅτι om syr 7-8 verba πολλοὶ — ὅτι om A 8 ὦπερ OP v τῷ S exc K²: τὸ cet 9 ἀνθρώπων exc verba ὅτι — ἔχει om exc ἡμῖν om exc 10 γένοιτο om exc γάρ om exc τινας exc 11 αὐτὸν: αὐτοὺς exc, om syr 12-15 verba ἑκάστου — γίνεται om exc 15 ἰδίως C: ἰδία S, ἰδίαν cet (cf 48, 15) 15-16 verba τὴν alt — ὑποκειμένου om exc 16 φωνὴν: προσηγορίαν exc 18-19 verba φέρε — μάρτυρας om exc 19-22 verba εἴπερ — Στέφανος om exc 19 ἐπείπερ OMKP v 21 ἄνθρωπος (ante γὰρ): ἂν A 22 οὐ μήν, εἴ τις: οὐ γὰρ πᾶς syr a, οὐ δὲ (vel μὴν) πᾶς syr b c 22 τις: τι C 24 ἀλλ᾽: καὶ exc ἐπιθεωρουμένας C exc

ἰδιότητας ἑκάστῳ τὸν διαμερισμὸν ἐπιδέχεται καὶ κατὰ σύνθεσιν ἐν ἀριθμῷ θεωρεῖται· ἡ δὲ φύσις μία ἐστίν, αὐτὴ πρὸς ἑαυτὴν ἡνωμένη καὶ ἀδιάτμητος ἀκριβῶς μονάς, οὐκ αὐξανομένη διὰ προσθήκης, οὐ μειουμένη δι' ὑφαιρέσεως, ἀλλ' ὅπερ ἐστὶν ἓν οὖσα καὶ ἓν διαμένουσα κἂν ἐν πλήθει φαίνηται, ἄσχιστος καὶ συνεχὴς καὶ ὁλόκληρος καὶ τοῖς μετέχουσιν αὐτῆς τοῖς καθ' ἕκαστον οὐ συνδιαιρουμένη. καὶ ὥσπερ λέγεται λαὸς καὶ δῆμος καὶ στράτευμα καὶ ἐκκλησία μοναχῶς πάντα, ἕκαστον δὲ τούτων ἐν πλήθει νοεῖται· οὕτω κατὰ τὸν ἀκριβέστερον λόγον καὶ ἄνθρωπος εἷς κυρίως ἂν ῥηθείη, κἂν οἱ ἐν τῇ φύσει τῇ αὐτῇ δεικνύμενοι πλῆθος ὦσιν, ὡς πολὺ μᾶλλον καλῶς ἔχειν τὴν ἐσφαλμένην ἐφ' ἡμῶν ἐπανορθοῦσθαι συνήθειαν εἰς τὸ μηκέτι τὸ τῆς φύσεως ὄνομα πρὸς πλῆθος ἐκτείνειν ἢ ταύτῃ δουλεύοντας τὴν ὧδε πλάνην καὶ ἐπὶ τὸ θεῖον δόγμα μεταβιβάζειν. ἀλλ' ἐπειδὴ ἀμήχανος τῆς συνηθείας ἡ ἐπανόρθωσις (πῶς γὰρ ἄν τις πεισθείη μὴ πολλοὺς λέγειν ἀνθρώπους τοὺς ἐν τῇ φύσει τῇ αὐτῇ δεικνυμένους; δυσμετάθετον γὰρ ἐπὶ παντὸς ἡ συνήθεια), ἐπὶ μὲν τῆς κάτω φύσεως τῇ κρατούσῃ συνηθείᾳ μὴ ἀντιβαίνοντες οὐδὲν ἂν τοσοῦτον ἁμάρτοιμεν, μηδεμιᾶς οὔσης ζημίας ἐκ

CAS OMKP 1 ἑκάστου vel ἑκάστης syr ἐπιδέξεται exc 1-2 verba καὶ — θεωρεῖται om exc 2 θεωρεῖται: διαιρεῖται P 2-3 verba αὐτὴ — ἀκριβῶς om exc 3 ἀδιατμήτως A ἀκριβῶς coll ante καὶ syr post μονὰς add ἀδιάτμητος exc 5-6 verba ἀλλ' — καὶ (ante τοῖς) om exc 5 καὶ ἓν διαμένουσα om OMKP v πλήθει: πολλοῖς syr 6 ante τοῖς add οὐδὲ, 7 οὐ post ἕκαστον om exc 8 ὡσπερεὶ C 8-9 μοναχῶς πάντα post στράτευμα coll exc 10 ἀκριβέστατον exc 11 τῇ αὐτῇ om syr 12 καλῶς ἔχειν coll ante εἰς (13) exc ἐπ' αὐτῶν exc 14 πρὸς: εἰς τὸ exc ἢ: μήτε syr 15 δόγμα om S ante μεταβιβάζειν add μὴ OMKP v, del K² ἐπεὶ exc ἀμήχανον exc 16 τῆς συνηθείας om syr ante μὴ add εἰ OMKP v 17 λέγει OMKP v, om syr τῇ (post ἐν) om OMKP v, ἐν τῇ αὐτῇ φύσει syr 18 verba δυσμετάθετον — συνήθεια om exc δυσμετάθετος A syr ἐπὶ (ante παντὸς) om syr a 19 ante φύσεως add ταύτης exc 20 οὐδὲν: οὐδὲ A OMP v οὐχ ἁμάρτοιμεν τοσοῦτον (ἂν omisso) exc τοιοῦτον syr ἁμάρτωμεν AS 20-42, 1 verba μηδεμιᾶς — χρήσεως om exc ante ἐκ add μὲν syr a

τῆς ἡμαρτημένης τῶν ὀνομάτων χρήσεως· ἐπὶ δὲ τοῦ θείου δόγματος οὐκέτι ὁμοίως ἀκίνδυνος ἡ ἀδιάφορος χρῆσις τῶν ὀνομάτων· οὐ γὰρ μικρὸν ἐνταῦθα τὸ παρὰ μικρόν.

Οὐκοῦν εἷς ἡμῖν ὁμολογητέος θεὸς κατὰ τὴν γραφικὴν μαρτυρίαν Ἄκουε, Ἰσραήλ· κύριος ὁ θεός σου κύριος εἷς ἐστι, κἂν ἡ φωνὴ τῆς θεότητος διήκῃ διὰ τῆς ἁγίας τριάδος. ταῦτα δὲ λέγω κατὰ τὸν ἀποδοθέντα ἡμῖν ἐπὶ τῆς ἀνθρωπίνης φύσεως λόγον, ἐν ᾧ μεμαθήκαμεν μὴ δεῖν πληθυντικῷ χαρακτῆρι τὴν προσηγορίαν πλατύνειν τῆς φύσεως. ἀκριβέστερον δὲ ἡμῖν αὐτὸ τὸ ὄνομα τῆς θεότητος ἐξεταστέον, ὅπως ἂν διὰ τῆς ἐγκειμένης τῇ φωνῇ σημασίας γένοιτό τις συνεργία πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν.

121 M. Δοκεῖ μὲν οὖν τοῖς πολλοῖς ἰδιαζόντως κατὰ τῆς φύσεως ἡ φωνὴ τῆς θεότητος κεῖσθαι καὶ ὥσπερ ὁ οὐρανὸς ἢ ὁ ἥλιος ἢ ἄλλο τι τῶν τοῦ κόσμου στοιχείων ἰδίαις φωναῖς διασημαίνεται ταῖς τῶν ὑποκειμένων σημαντικαῖς, οὕτω φασὶ καὶ ἐπὶ τῆς ἀνωτάτω καὶ θείας φύσεως ὥσπερ τι κύριον ὄνομα προσφυῶς ἐφηρμόσθαι τῷ δηλουμένῳ τὴν φωμὴν τῆς θεότητος. ἡμεῖς δὲ ταῖς τῆς γραφῆς ὑποθήκαις ἑπόμενοι ἀκατονόμαστόν τε καὶ ἄφραστον αὐτὴν μεμαθήκαμεν· καὶ πᾶν ὄνομα, εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας ἐξηύρηται εἴτε παρὰ τῶν γραφῶν παραδέδοται, τῶν περὶ τὴν θείαν

5 Deut 6, 4

CAS OMKP 2 διάφορος OMKP v syr 2-5 verba ἀκίνδυνος — μαρτυρίαν: ἀκίνδυνον τοῦτο· ἀκούσωμεν οὖν τῆς γραφῆς exc 4 ὁμολογητέον A, ὡμολόγηται (ex ὁμολόγηται corr) C ante θεὸς add ὁ C 5-6 verba ἄκουε — ἐστι om C 5 κύριος om AS, sed cf 55, 3 6 διήκῃ S, (ex διηκει corr) K: διήκει cet 10 αὐτὸ τὸ ὄνομα: τὸ νόημα syr ὁπωσοῦν (vel ὁπωσδὴ)? syr 10-12 verba ὅπως — σαφήνειαν om exc 13 ante κατὰ add καὶ exc κατὰ τὴν φύσιν syr 14 post ὥσπερ add ἢ A OMKP v ὁ (ante οὐρανὸς) om A 16 καὶ om syr 17 καὶ om A 18 ἐφηρμῶσθαι CA 20 ἀκατωνόμαστον O v ante τε add τι exc 21 συνηθείας: οὐσίας OMKP v ἐξηύρηται C: ἐξεύρηται cet 22 ante περὶ (sic) add τη C, τι OMKP[1] v, τινος P[2] (ut vid) exc

φύσιν νοουμένων ἑρμηνευτικὸν εἶναι λέγομεν, οὐκ αὐτῆς τῆς φύσεως περιέχειν τὴν σημασίαν.

Καὶ οὐ πολλῆς ἄν τις δεηθείη πραγματείας πρὸς τὴν ἀπόδειξιν τοῦ ταῦτα οὕτως ἔχειν. τὰ μὲν γὰρ λοιπὰ τῶν ὀνομάτων, ὅσα ἐπὶ τῆς κτίσεως κεῖται, καὶ δίχα τινὸς ἐτυμολογίας εὕροι τις ἂν κατὰ τὸ συμβὰν ἐφηρμοσμένα τοῖς ὑποκειμένοις, ἀγαπώντων ἡμῶν ὁπωσοῦν τὰ πράγματα διὰ τῆς ἐπ' αὐτῶν φωνῆς σημειώσασθαι πρὸς τὸ ἀσύγχυτον ἡμῖν γίνεσθαι τῶν σεσημειωμένων τὴν γνῶσιν. ὅσα δὲ πρὸς ὁδηγίαν τῆς θείας κατανοήσεώς ἐστιν ὀνόματα, ἰδίαν ἔχει ἕκαστον ἐμπεριειλημμένην διάνοιαν καὶ οὐκ ἂν χωρὶς νοήματός τινος οὐδεμίαν εὕροις φωνὴν ἐν τοῖς θεοπρεπεστέροις τῶν ὀνομάτων, ὡς ἐκ τούτου δείκνυσθαι μὴ αὐτὴν τὴν θείαν φύσιν ὑπό τινος τῶν ὀνομάτων σεσημειῶσθαι, ἀλλά τι τῶν περὶ αὐτὴν διὰ τῶν λεγομένων γνωρίζεσθαι. λέγομεν γὰρ εἶναι τὸ θεῖον ἄφθαρτον, εἰ οὕτω τύχοι, ἢ δυνατὸν ἢ ὅσα ἄλλα σύνηθές ἐστι λέγειν. ἀλλ' εὑρίσκομεν ἑκάστου τῶν ὀνομάτων ἰδιάζουσαν ἔμφασιν πρέπουσαν περὶ τῆς θείας φύσεως νοεῖσθαι καὶ λέγεσθαι, οὐ μὴν ἐκεῖνο σημαίνουσαν, ὅ ἐστι κατ' οὐσίαν ἡ φύσις· αὐτὸ γὰρ ὅ τι ποτέ ἐστιν, ἄφθαρτόν ἐστιν· ἡ δὲ τοῦ ἀφθάρτου ἔννοια αὕτη, τὸ μὴ εἰς φθορὰν τὸ ὂν διαλύεσθαι. οὐκοῦν ἄφθαρτον εἰπόντες, ὃ μὴ πάσχει ἡ φύσις, εἴπομεν· τί δέ ἐστι τὸ τὴν φθορὰν μὴ πάσχον, οὐ παρεστήσαμεν. οὕτω κἂν ζωοποιὸν εἴπωμεν, ὃ ποιεῖ διὰ τῆς

CAS OMKP 1 εἶναι om exc οὐκ: οὐδ' syr αὐτὴν A post αὐτῆς add δὲ OMKP v τῆς om exc 3-4 verba οὐ — ἀπόδειξιν: καὶ ἡ ἀποδειξις εὐχερὴς exc 4 τοῦ οὕτως ἔχειν ταῦτα exc ταῦτα: τὰ v 6 ἐτοιμολογίας CA εὕρη exc εὕροι τις: εὕροιμεν syr ἐφαρμόσαντες syr c 7-9 verba ἀγαπώντων — γνῶσιν om exc 7 ἀγαπώντων ἡμῶν: ἀγαπῶντες syr 9 ante ἡμῖν add ἐν C γενέσθαι AS δὲ: γὰρ syr c 11 περιειλημμένην A οὐκ: οὐδέποτε syr post ἂν add τις C 12 τινος om S εὕροι C 16 εἰ οὕτω τύχοι: αυτο τυχη (sic) C ἢ (ante δυνατὸν) om syr 17 συνήθως exc ἕκαστον syr 18 πρὸς (vel ἐπὶ) ante ἰδιάζουσαν add syr 21-22 verba ἡ — διαλύεσθαι: οὐ γὰρ εἰς φθορὰν διαλύεται· οὐκοῦν (compluribus verbis, quae sequuntur, obscuratis) exc 22 πάσχη AK, corr K[2] 24 παρεστεύσαμεν exc κἂν: καὶ C exc post ζωοποιὸν add εἰ exc εἴποιμεν S 24-44, 1 verba εἴπωμεν — λόγῳ: εἰ εἴπομεν τὸ ποιοῦν ζωὴν δηλοῦμεν, ποῖον δὲ τοῦτο οὐκ ἐγνωρίσαμεν exc

προσηγορίας σημάναντες τὸ ποιοῦν τῷ λόγῳ οὐκ ἐγνωρίσαμεν. καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν λόγον ἐκ τῆς ἐγκειμένης ταῖς θεοπρεπεστέραις φωναῖς σημασίας εὑρίσκομεν, ἢ τὸ μὴ δέον ἐπὶ τῆς θείας φύσεως γινώσκειν ἀπαγορεύοντα ἢ τὸ δέον διδάσκοντα, αὐτῆς δὲ τῆς φύσεως ἑρμηνείαν οὐ περιέχοντα.

Ἐπεὶ τοίνυν τὰς ποικίλας τῆς ὑπερκειμένης δυνάμεως ἐνεργείας κατανοοῦντες ἀφ' ἑκάστης τῶν ἡμῖν γνωρίμων ἐνεργειῶν τὰς προσηγορίας ἁρμόζομεν, μίαν δὲ καὶ ταύτην εἶναι <λέγομεν τοῦ θεοῦ> τὴν ἐνέργειαν, τὴν ἐποπτικὴν καὶ ὁρατικὴν καὶ ὡς ἄν τις εἴποι θεατικήν, καθ' ἣν τὰ πάντα ἐφορᾷ καὶ πάντα ἐπισκοπεῖ, τὰς ἐνθυμήσεις βλέπων καὶ ἐπὶ τὰ ἀθέατα τῇ θεωρητικῇ δυνάμει διαδυόμενος, ὑπειλήφαμεν ἐκ τῆς θέας τὴν θεότητα παρωνομάσθαι καὶ τὸν θεωρὸν ἡμῶν θεὸν ὑπό τε τῆς συνηθείας καὶ τῆς τῶν γραφῶν διδασκαλίας προσαγορεύεσθαι.

124 M. Εἰ δὲ συγχωρεῖ τις ταὐτὸν εἶναι τὸ θεᾶσθαι τῷ βλέπειν καὶ τὸν ἐφορῶντα πάντα θεὸν ἔφορον τοῦ παντὸς καὶ εἶναι καὶ λέγεσθαι, λογισάσθω τὴν ἐνέργειαν ταύτην, πότερον ἑνὶ πρόσεστι τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων προσώπων ἢ διὰ τῶν τριῶν διήκει ἡ δύναμις. εἰ γὰρ ἀληθὴς ἡ τῆς θεότητος ἑρμηνεία καὶ τὰ ὁρώμενα θεατὰ καὶ τὸ θεώμενον θεὸς

η

CAS OMKP 1 σημήναντες C, σημάναντες M 2 τάλλα A, τἄλλα S 5 δὲ om S exc 8 post τῶν add ἐν exc 9 ἐνεργειῶν om exc δὲ om S 10 λέγομεν τοῦ θεοῦ supplevi 11-13 verba καθ' — διαδυόμενος om exc 13 ante ὑπειλήφαμεν add καὶ syr b 14-17 verba παρωνομάσθαι — τις: καλοῦντες· ἐπεὶ δὲ exc 14 θεωρὸν: θεατὴν v 17 δὴ C θεᾶσθαι C: θεάσασθαι cet (cf 22: θεώμενον) τῷ S P exc: τὸ cet καὶ τὸ K v, καὶ del K² 18-19 verba τὸν — πότερον: ἔφορος ὁ πάντα ἐφορῶν, λογισώμεθα, πότερον τὴν ἐνέργειαν ταύτην exc 19-20 ἑνὶ πρόσεστι: ἕν ἐστι syr 20 verba πρόσεστι — πεπιστευμένων: προσεῖναι χρὴ τῶν τῆς ἁγίας τριάδος exc 21 διήκει ἡ δύναμις: διήκειν τὴν δύναμιν· ἀλλ' οὐκ exc προσήκει O v 21-45, 1 verba εἰ — οὐκέτι om exc 22 verba καὶ — θεατὰ: καίτοι ὁρῶν θεᾶται C ἀθέατα OMKP, ἀ del K²P²

λέγεται, οὐκέτι ἂν εὐλόγως ἀποκριθείη τι τῶν ἐν τῇ τριάδι προσώπων τῆς τοιαύτης προσηγορίας διὰ τὴν ἐγκειμένην τῇ φωνῇ σημασίαν. τὸ γὰρ βλέπειν ἐπίσης μαρτυρεῖ ἡ γραφὴ καὶ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ θεός, φησὶν ὁ Δαβίδ· ἐκ δὲ τούτου μανθάνομεν ἰδίαν θεοῦ, καθὸ θεὸς νοεῖται, ἐνέργειαν τὸ ὁρᾶν, ἐκ τοῦ εἰπεῖν Ἴδε, ὁ θεός. ἀλλὰ καὶ ὁ Ἰησοῦς ὁρᾷ τὰς ἐνθυμήσεις τῶν καταγινωσκόντων, διότι συγχωρεῖ τὰς ἁμαρτίας ἐξ αὐθεντίας [τῶν ἀνθρώπων]. Ἰδὼν γάρ, φησίν, ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν. καὶ περὶ τοῦ πνεύματος λέγει πρὸς τὸν Ἀνανίαν ὁ Πέτρος Ἵνα τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; δεικνὺς ὅτι τῶν ἐν κρυπτῷ τολμωμένων παρὰ τοῦ Ἀνανίου μάρτυς ἦν ἀψευδὴς καὶ ἐπιΐστωρ τὸ πνεῦμα τὸ ἅγιον, δι᾽ οὗ καὶ τῷ Πέτρῳ τῶν λανθανόντων ἡ φανέρωσις ἦν. ὁ μὲν γὰρ ἐγένετο κλέπτης αὐτὸς ἑαυτοῦ λανθάνων, ὡς ᾤετο, πάντας καὶ τὴν ἁμαρτίαν ἐπικρυπτόμενος· τὸ δὲ πνεῦμα τὸ ἅγιον ὁμοῦ τε ἐν Πέτρῳ ἦν καὶ τὴν ἐκείνου διάνοιαν πρὸς τὴν φιλοχρηματίαν κατασυρεῖσαν ἐφώρασε καὶ δι᾽ ἑαυτοῦ δίδωσι τῷ Πέτρῳ διιδεῖν τὰ

4-5 Ps 83, 10 9-10 Matth 9, 4 10-11 Act 5, 3

CAS OMKP 1 ἂν om C ante τριάδι add ἁγίᾳ S exc 4 πνεύματι ἁγίῳ C 5 post φησὶν add γὰρ syr ἰδίαν CS syr: ἰδέαν cet 5-7 verba ἐκ — θεός: ἐνέργεια οὖν ἰδία θεοῦ τὸ ὁρᾶν exc 6 ante ἐνέργειαν add ἰδίαν A OMKP v syr, quod olim var lect in marg adscripta erat, sed in aliquot codicibus in textum falso loco recepta est τὸ C syr: τοῦ cet 7 Ἰησοῦς: υἱὸς exc 7-9 verba τῶν — ἀνθρώπων om exc 8 διότι S: διὰ τί cet αὐθεντείας OMKP 9 τῶν ἀνθρώπων om syr, seclusi, quod verba falso loco ex marg in textum recepta videntur ἰδὼν: εἶδεν exc Ἰησοῦς: θεὸς exc 10 παρὰ exc 13 τολμωμένων C: τετολμημένων cet παρὰ τοῦ Ἀνανίου om exc ἦν: ἐστιν exc ἀψευδὴς καὶ ἐπιΐστωρ om exc καὶ ante ἐπ. om v 13-14 ἐπίστωρ MKP, καὶ εἰ ἴστωρ syr 14 δι᾽ οὗ om syr 14-46, 4 verba δι᾽ οὗ — εἰ: ὃ καὶ ἀπεκάλυψε τῷ Πέτρῳ τὰ κατὰ νοῦν ἡμαρτημένα τῷ Ἀνανίᾳ· ἀλλ᾽ ἐρεῖ τις ὡς κἂν exc τῶν λανθανόντων: λανθανόντως A 15 ἐγίνετο AS 16 ἑαυτὸν A 19 ἐφόρασεν C, corr C^2 παρ᾽ ἑαυτοῦ S, παρ᾽ αὐτοῦ A διιδεῖν S: διειδεῖν C, ἰδεῖν cet

λανθάνοντα· οὐκ ἂν δηλονότι τοῦτο ποιοῦν, εἴπερ ἦν τῶν κρυφίων ἀθέατον.

Ἀλλ' οὔπω τις ἐρεῖ πρὸς τὸ ζητούμενον βλέπειν τὴν κατασκευὴν τοῦ λόγου. οὐδὲ γὰρ εἰ δοθείη κοινὴ τῆς φύσεως ἡ κλῆσις τῆς θεότητος εἶναι, ἤδη τὸ μὴ δεῖν λέγειν θεοὺς διὰ τούτου κατεσκευάσθη. τοὐναντίον μὲν οὖν ἐκ τούτων ἀναγκαζόμεθα μᾶλλον λέγειν θεούς. εὑρίσκομεν γὰρ ἐπὶ τῆς ἀνθρωπίνης συνηθείας οὐ μόνον τοὺς τῆς αὐτῆς φύσεως κοινωνοὺς ἀλλά, κἄν τινες τοῦ αὐτοῦ ὦσιν ἐπιτηδεύματος, οὐχ ἑνικῶς τοὺς πολλοὺς μνημονευομένους καθό φαμεν ῥήτοράς τε πολλοὺς καὶ γεωμέτρας γεωργούς τε καὶ σκυτοτόμους καὶ τὰ ἄλλα πάντα ὡσαύτως. καὶ εἰ μὲν φύσεως ἦν ἡ τῆς θεότητος προσηγορία, μᾶλλον ἂν εἶχε καιρὸν κατὰ τὸν προαποδοθέντα λόγον ἑνικῶς τὰς τρεῖς ὑποστάσεις περιλαμβάνειν καὶ ἕνα θεὸν λέγειν διὰ τὸ τῆς φύσεως ἄτμητόν τε καὶ ἀδιαίρετον· ἐπεὶ δὲ κατεσκευάσθη διὰ τῶν εἰρημένων ἐνέργειαν σημαίνειν καὶ οὐχὶ φύσιν τὸ τῆς θεότητος ὄνομα, περιτρέπεταί πως πρὸς τοὐναντίον ἐκ τῶν κατασκευαζομένων ὁ λόγος, ὡς δεῖν ταύτῃ μᾶλλον λέγειν τρεῖς θεοὺς τοὺς ἐν τῇ αὐτῇ ἐνεργείᾳ θεωρουμένους· ὥς φασι τρεῖς
125 M. λέγεσθαι φιλοσόφους ἢ ῥήτορας ἢ εἴ τί ἐστιν ἕτερον ἐξ ἐπιτηδεύματος ὄνομα, ὅταν πλείους ὦσιν οἱ τοῦ αὐτοῦ συμμετέχοντες. ταῦτα φιλοπονώτερον ἐξειργασάμην, τὸν

CAS OMKP 4 κοινὴ τῆς om, μὴ ante φύσεως add C 5 εἶναι ἡ τῆς θεότητος κλῆσις exc ante ἤδη add οὐκ exc δεῖν om AS exc λέγεσθαι exc ante λέγειν add πρὸς τὸ C 6 τοὐναντίον μὲν οὖν: ἀλλὰ τοὐναντίον syr 7-12 verba εὑρίσκομεν — ὡσαύτως om exc 9 κοινωνίας v 12 καὶ (ante εἰ): ὥστε C 12-13 ἡ τῆς θεότητος προσηγορία CAS: ἡ θεότης πρ. OMKP v, τῆς θεότητος ἡ πρ. exc 14 προαποθέντα v 16 ἐπειδὴ A MKP v δὲ om A, ante δὲ add δέ M 16-17 verba ἐπεὶ — φύσιν: ἐπεὶ δ' ὡς εἴρηται ἐνέργειαν καὶ οὐχὶ φύσιν σημαίνει exc 18-19 ἐκ τῶν κατασκευαζομένων om exc 19 ταῦτα AS τρεῖς λέγειν CS: λέγειν τρεῖς A OMKP exc v 20 φησι A φαμεν syr 20-21 λέγεσθαι τρεῖς O v 21 ante ῥήτορας add τρεῖς exc εἴ om syr b τι om syr ἕτερόν ἐστιν C exc 22 ἐπιτηδευμάτων syr a et b πλέους exc 23 συμμετέχοντες C: μετέχοντες cet post ταῦτα add δὲ OMKP v 23-47, 6 verba

τῶν ὑπεναντίων ἀνθυποφέρων λόγον, ὡς ἂν βεβαιότερον ἡμῖν παγείη τὸ δόγμα ταῖς εὐτονωτέραις τῶν ἀντιθέσεων κρατυνόμενον. οὐκοῦν ἐπαναληπτέος πάλιν ὁ λόγος.

Ἐπειδὴ μετρίως ἡμῖν ἐκ τῆς κατασκευῆς ἀπεδείχθη οὐ φύσεως ἀλλ' ἐνεργείας εἶναι τὴν φωνὴν τῆς θεότητος, τάχα ταύτην ἄν τις αἰτίαν εὐλόγως εἴποι τοῦ πληθυντικῶς μὲν ἐπ' ἀνθρώπων τοὺς τῶν αὐτῶν ἐπιτηδευμάτων κοινωνοῦντας ἀλλήλοις ἀριθμεῖσθαι καὶ ὀνομάζεσθαι, μοναδικῶς δὲ τὸ θεῖον ὡς ἕνα θεὸν καὶ μίαν θεότητα λέγεσθαι, κἂν αἱ τρεῖς ὑποστάσεις τῆς ἐμφαινομένης τῇ θεότητι σημασίας μὴ ἀποκρίνοιντο, ὅτι ἄνθρωποι μέν, κἂν μιᾶς ὦσιν ἐνεργείας οἱ πλείονες, καθ' ἑαυτὸν ἕκαστος ἀποτεταγμένως ἐνεργεῖ τὸ προκείμενον, οὐδὲν ἐπικοινωνῶν ἐν τῇ καθ' ἑαυτὸν ἐνεργείᾳ πρὸς τοὺς τὸ ἴσον ἐπιτηδεύοντας· εἰ γὰρ καὶ πλείονες εἶεν οἱ ῥήτορες, τὸ μὲν ἐπιτήδευμα ἓν ὂν τὸ αὐτὸ ἐν τοῖς πλείοσιν ὄνομα ἔχει, οἱ δὲ μετιόντες καθ' ἑαυτὸν ἕκαστον ἐνεργοῦσιν ἰδίως ῥητορεύων ὁ δεῖνα καὶ ἰδίως ὁ ἕτερος· οὐκοῦν ἐν μὲν τοῖς ἀνθρώποις, ἐπειδὴ διακεκριμένη ἐστὶν ἡ ἐν τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἑκάστου ἐνέργεια, κυρίως πολλοὶ ὀνομάζονται, ἑκάστου αὐτῶν εἰς ἰδίαν περιγραφὴν κατὰ τὸ ἰδιότροπον τῆς ἐνεργείας ἀποτεμνομένου τῶν ἄλλων· ἐπὶ δὲ τῆς θείας φύσεως οὐχ οὕτως ἐμάθομεν ὅτι ὁ πατὴρ ποιεῖ τι καθ' ἑαυτόν, οὗ μὴ συνεφάπτεται ὁ υἱός, ἢ πάλιν ὁ υἱὸς ἰδιαζόντως ἐνεργεῖ τι χωρὶς τοῦ πνεύματος, ἀλλὰ πᾶσα ἐνέργεια ἡ θεόθεν ἐπὶ τὴν κτίσιν διήκουσα καὶ κατὰ τὰς πολυτρόπους

ταῦτα — εἴποι: ταῦτά φασιν οἱ ἀντιλέγοντες· ἐγὼ δέ φημι ὅτι, ἐπεὶ οὐ φύσεως ἀλλ' ἐνεργείας ἐστὶν ἡ φωνὴ τῆς θεότητος, εὐλόγως ἄν τις αἰτίαν εἴποι exc

CAS OMKP 3 ἐπαναληπτέον CK, supra add ος K 4 ἐπεὶ δὲ syr 6 ante τάχα add λέγων OMKP v αἰτίαν om AS τοῦ om C 7 ἐπ' ἀνθρώπων: ἀνθρώπους syr 9 λέγειν syr 10 διὰ τῆς ἐμφαινούσης τὴν θεότητα σημασίας syr ἐμφαινομένοις exc 11 κἂν μιᾶς ὦσιν: καὶ μισῶσιν A 12 ἀποτεταγμένως CA syr: ἀποτεταγμένος cet 14-17 verba εἰ — ἕτερος om exc 16 μεθιόντες M 18 ἐπεὶ exc αὐτοῦ A 20-21 verba ἑκάστου — ἄλλων om exc 21 δὲ om A 23 οὗ μή: καὶ οὐ exc 24 τι om AS 25 καὶ om C exc

ἐννοίας ὀνομαζομένη ἐκ πατρὸς ἀφορμᾶται καὶ διὰ τοῦ υἱοῦ πρόεισι καὶ ἐν τῷ πνεύματι τῷ ἁγίῳ τελειοῦται. διὰ τοῦτο εἰς τὸ πλῆθος τῶν ἐνεργούντων τὸ ὄνομα τῆς ἐνεργείας οὐ διασχίζεται, ὅτι οὐκ ἀποτεταγμένη ἑκάστου καὶ ἰδιάζουσά ἐστιν ἡ περί τι σπουδή· ἀλλ' ὅπερ ἂν γίνηται τῶν εἴτε εἰς τὴν ἡμετέραν πρόνοιαν φθανόντων εἴτε πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καὶ σύστασιν, διὰ τῶν τριῶν μὲν γίνεται, οὐ μὴν τρία ἐστὶ τὰ γινόμενα.

Νοήσωμεν δὲ τὸ λεγόμενον ἀφ' ἑνός τινος πράγματος, ἀπ' αὐτοῦ λέγω τοῦ κεφαλαίου τῶν χαρισμάτων. ζωῆς τετύχηκεν, ὅσα μετείληφε τῆς χάριτος ταύτης. ἐξετάζοντες οὖν πόθεν ἡμῖν τὸ τοιοῦτον γέγονεν ἀγαθόν, εὑρίσκομεν διὰ τῆς τῶν γραφῶν ὁδηγίας, ὅτι ἐκ πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου. ἀλλ' οὐκ, ἐπειδὴ τρία ὑποτιθέμεθα πρόσωπά τε καὶ ὀνόματα, τρεῖς καὶ ζωὰς (ἰδίως μίαν παρ' ἑκάστου αὐτῶν) δεδωρῆσθαι ἡμῖν λογιζόμεθα, ἀλλ' ἡ αὐτὴ ζωὴ καὶ παρὰ τοῦ ἁγίου πνεύματος ἐνεργεῖται καὶ παρὰ τοῦ υἱοῦ ἑτοιμάζεται καὶ τῆς τοῦ πατρὸς ἐξῆπται βουλήσεως.

Ἐπειδὴ τοίνυν καθ' ὁμοιότητα τοῦ εἰρημένου πᾶσαν ἐνέργειαν οὐ διῃρημένως ἐνεργεῖ κατὰ τὸν τῶν ὑποστάσεων
128 M. ἀριθμὸν ἡ ἁγία τριάς, ἀλλὰ μία τις γίνεται τοῦ ἀγαθοῦ θελήματος κίνησίς τε καὶ διάδοσις, ἐκ τοῦ πατρὸς διὰ τοῦ

CAS OMKP 2 ἐν τῷ ἁγίῳ πνεύματι exc ante διὰ add καὶ exc 3 τὸ (ante πλῆθος) AS: om cet 4-5 verba ὅτι — ἀλλ' om exc, in marg add exc[2] 5 γίνεται A KP v, η sscr M εἴτε: ἔν γε τι A 6-7 verba εἴτε — σύστασιν om exc, in marg add exc[2] 9 νοήσομεν AS 11 ὅσα τῆς χάριτος μετείληφε ταύτης P 12 γέγονε τὸ τοιοῦτον ἀγαθόν O v 13-14 ἁγίου πνεύματος exc post πνεύματος add ζωῆς ἐντύχωμεν exc 14 ἐπεὶ exc[2] ὑποτιθέμενα exc 15 τε om exc ἰδία exc 16 ζωὴ om exc 17 ἁγίου πνεύματος C S exc (cf p 51, 16-19): πατρὸς cet 18 υἱοῦ: κυρίου syr πατρὸς C S syr: πνεύματος cet ἐξηγεῖται A 20 ἐπειδὴ τοίνυν om, γοῦν ante τοῦ add exc 22 ἁγία om syr ἀλλὰ μία τις: μία γὰρ exc 23 διάδοσις: διάδυσις A, διακόμησις v τοῦ (ante πατρὸς) om OMKP v

υἱοῦ πρὸς τὸ πνεῦμα διεξαγομένη, ὡς οὐ λέγομεν τρεῖς ζωοποιοὺς τοὺς τὴν μίαν ἐνεργοῦντας ζωὴν οὐδὲ τρεῖς ἀγαθοὺς τοὺς ἐν τῇ αὐτῇ ἀγαθότητι θεωρουμένους οὐδὲ τὰ ἄλλα πάντα πληθυντικῶς ἐξαγγέλλομεν, οὕτως οὐδὲ τρεῖς ὀνομάζειν δυνάμεθα τοὺς τὴν θεϊκὴν ταύτην ἤτοι ἐποπτικὴν δύναμίν τε καὶ ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως δι' ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας. ὥσπερ γὰρ μαθόντες περὶ τοῦ θεοῦ τῶν ὅλων τῆς γραφῆς λεγούσης κρίνειν αὐτὸν πᾶσαν τὴν γῆν κριτὴν τοῦ παντὸς αὐτὸν εἶναι διὰ τοῦτό φαμεν καὶ πάλιν ἀκούσαντες ὅτι Ὁ πατὴρ κρίνει οὐδένα οὐχ ἡγούμεθα μάχεσθαι πρὸς ἑαυτὴν τὴν γραφήν· ὁ γὰρ κρίνων πᾶσαν τὴν γῆν διὰ τοῦ υἱοῦ, ᾧ πᾶσαν δέδωκε τὴν κρίσιν, τοῦτο ποιεῖ· καὶ πᾶν τὸ παρὰ τοῦ μονογενοῦς γινόμενον εἰς τὸν πατέρα τὴν ἀναφορὰν ἔχει, ὥστε καὶ κριτὴν αὐτὸν τοῦ παντὸς εἶναι καὶ κρίνειν μηδένα διὰ τὸ πᾶσαν, ὡς εἴρηται, τὴν κρίσιν τῷ υἱῷ δεδωκέναι καὶ πᾶσαν τὴν τοῦ υἱοῦ κρίσιν τοῦ πατρικοῦ μὴ ἀπηλλοτριῶσθαι βουλήματος· καὶ οὐκ ἄν τις εὐλόγως ἢ δύο κριτὰς εἴποι ἢ τὸν ἕτερον ἠλλοτριῶσθαι τῆς κατὰ τὴν κρίσιν ἐξουσίας τε καὶ δυνάμεως· οὕτω καὶ ἐπὶ τοῦ τῆς θεότητος λόγου

8 Gen 18, 25 11 Joh 5, 22

CAS OMKP 1 ἐξαγομένη exc post ὡς add γὰρ OMKP v, οὖν add exc 2 verba τοὺς — οὐδὲ: ἢ exc 3-4 verba τοὺς — ἐξαγγέλλομεν om exc 3 τῇ αὐτῇ CS: αὐτῇ τῇ cet 5 ὀνομάζειν δυνάμεθα: ὀνομάσομεν exc ταύτην om exc 6 δύναμιν τε καὶ om exc, δύναμιν καὶ add exc² 6-7 verba καὶ alt — κτίσεως om exc, δι' et τε omissis in marg add exc² 8-9 verba ὥσπερ — αὐτὸν: ἐμάθομεν τήν γραφὴν λέγουσαν περὶ τοῦ υἱοῦ τοῦ θεοῦ τῶν ὅλων ὅτε κρινεῖ exc 9-10 verba κριτὴν — ἀκούσαντες: καὶ πάλιν exc 10 τοῦτό syr: τούτου CAS, τοῦ υἱοῦ OMKP v ὅτι om C 11 κρινεῖ A 11-12 verba οὐχ — γραφήν: οὐκ ἐναντία ταῦτα exc 13 πᾶσαν (ante δέδωκε) om A 15 αὐτὸν coll ante εἶναι exc 16-18 verba διὰ — βουλήματος om exc 16 πᾶσαν om A 17 ἀπηλλοτριῶσθαι OMKP v: ἀπαλλοτριοῦσθαι cet 18 τις εὐλόγως ἢ om exc ἢ ante τὸν om C εἴποιμεν exc 20 τε om A τε καὶ δυνάμεως om exc, add exc² post οὕτω add γοῦν exc τῆς θεότητος τοῦ λόγου AS

Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία καὶ τὴν ἐποπτικήν τε καὶ θεατικὴν δύναμιν, ἥνπερ δὴ θεότητα λέγομεν, διὰ τοῦ μονογενοῦς ὁ πατὴρ ἐνεργεῖ, <ὁ πάντα ἐν σοφίᾳ ποιῶν θεός>, τοῦ δὲ υἱοῦ πᾶσαν δύναμιν ἐν τῷ ἁγίῳ πνεύματι τελειοῦντος καὶ κρίνοντος μέν, καθὼς Ἠσαΐας φησίν, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως, εὐεργετοῦντος δὲ κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν, ἣν πρὸς τοὺς Ἰουδαίους πεποίηται, ἐν πνεύματι θεοῦ· λέγει γὰρ Εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ἀπὸ μέρους πᾶν εἶδος εὐεργεσίας περιλαμβάνων διὰ τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος· οἷς γὰρ δι' ἀλλήλων ἐνεργεῖται τὸ ἕν, εἰς πολλοὺς καταμεμερίσθαι τὸ ὄνομα τῆς ἐνεργείας οὐ δύναται.

Ἐπειδὴ γὰρ εἷς ὁ τῆς ἐποπτικῆς τε καὶ θεατικῆς δυνάμεως λόγος ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐκ μὲν τοῦ πατρὸς οἷον ἐκ πηγῆς τινος ἀφορμώμενος, ὑπὸ δὲ τοῦ υἱοῦ ἐνεργούμενος, ἐν δὲ τῇ δυνάμει τοῦ πνεύματος τελειῶν τὴν χάριν, καὶ οὐ διακρίνεται πρὸς τὰς ὑποστάσεις οὐδεμία ἐνέργεια, ἰδιαζόντως παρ' ἑκάστης καὶ ἀποτεταγμένως δίχα τῆς συνθεωρουμένης ἐπιτελουμένη· ἀλλὰ πᾶσα πρόνοια καὶ κηδεμονία καὶ τοῦ

1 Cor 1, 24 6 Jes 4, 4 8 Matth 12, 28

CAS OMKP 1 ante Χριστὸς add ὁ πάντα ἐν σοφίᾳ ποιῶν θεὸς CS exc syr, quae verba collocavi post ἐνεργεῖ (3) post Χριστὸς add δὲ CAS exc syr ante τὴν add λέγομεν syr 2 τε καὶ θεατικὴν om exc, add exc² δὴ om AS τὴν τῆς θεότητος syr λέγομεν: λέγωμεν C, om syr 3 τὸν πατέρα ἐνεργεῖν syr 4 post πᾶσαν add τὴν exc 5 καθὼς Ἠσαΐας φησίν: καθ' Ἠσαΐαν exc, καθώς φησιν syr a, καθὼς ἔφην syr b, om syr c 6 post καὶ add ἐν exc ἐνεργοῦντος C O exc v 7 τοῦ om O v 8-9 verba λέγει — θεοῦ om A syr εἰ δὲ: ἴδε C ἐν πνεύματι θεοῦ CS syr: θεοῦ ἐν πνεύματι exc, om cet 9 ἐκβάλλει syr εὐεργεσίας: ἐνεργείας syr b 10 κατὰ τὴν ἐνέργειαν: τῆς ἐνεργείας syr c γάρ: δὲ syr, om CAS 11 πολλὰς exc, λλούς (sic) in marg exc² καταμερίζεσθαι exc 13-20 verba ἐπειδὴ — ἀλλὰ om exc, in marg add exc² 14 post καθὼς add καὶ syr 16-17 ἐν δὲ τῇ δυνάμει: ἡ δύναμις syr a 18 post οὐδεμία add γὰρ syr c 19 ἑκάστη (καὶ om) ἀποτεταγμένη· syr δίχα: διὰ exc² post συνθεωρουμένης add προνοίας exc² 20 ante πρόνοια add οὖν exc, post πρόνοια add τοῦ πατρὸς syr 20-51, 1 τοῦ παντὸς om syr

παντὸς ἐπιστασία, τῶν τε κατὰ τὴν αἰσθητὴν κτίσιν καὶ τῶν κατὰ τὴν ὑπερκόσμιον φύσιν ἥτε συντηρητικὴ τῶν ὄντων καὶ διορθωτικὴ τῶν πλημμελουμένων καὶ διδακτικὴ τῶν κατορθουμένων, μία ἐστὶ καὶ οὐχὶ τρεῖς, παρὰ μὲν τῆς ἁγίας τριάδος κατορθουμένη, οὐ μὴν κατὰ τὸν ἀριθμὸν τῶν ἐν τῇ πίστει θεωρουμένων προσώπων τριχῇ τεμνομένη, ὡς ἕκαστον τῶν ἐνεργημάτων ἐφ' ἑαυτοῦ θεωρούμενον ἢ τοῦ
129 M. πατρὸς εἶναι μόνου ἢ τοῦ μονογενοῦς ἰδιαζόντως ἢ τοῦ ἁγίου πνεύματος κεχωρισμένως· ἀλλὰ διαιρεῖ μὲν ἰδίᾳ ἑκάστῳ τὰ ἀγαθά, καθώς φησιν ὁ ἀπόστολος, τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα· οὐκ ἄναρχος δὲ ἡ τοῦ ἀγαθοῦ κίνησις ἐκ τοῦ πνεύματος· ἀλλ' εὑρίσκομεν ὅτι ἡ προεπινοουμένη ταύτης δύναμις, ἥτις ἐστὶν ὁ μονογενὴς θεός, πάντα ποιεῖ, οὗ χωρὶς οὐδὲν τῶν ὄντων εἰς γένεσιν ἔρχεται· ἀλλὰ καὶ αὐτὴ πάλιν τῶν ἀγαθῶν ἡ πηγὴ ἐκ τοῦ πατρικοῦ βουλήματος ἀφορμᾶται.

Εἰ δὴ πᾶν ἀγαθὸν πρᾶγμα καὶ ὄνομα τῆς ἀνάρχου δυνάμεώς τε καὶ βουλῆς ἐξημμένον ἐν τῇ δυνάμει τοῦ πνεύματος διὰ τοῦ μονογενοῦς θεοῦ ἀχρόνως καὶ ἀδιαστάτως εἰς τελείωσιν ἄγεται, οὐδεμιᾶς παρατάσεως ἐν τῇ τοῦ θείου βουλήματος κινήσει ἀπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα γινομένης ἢ νοουμένης, ἓν δὲ τῶν ἀγαθῶν ὀνομάτων τε καὶ νοημάτων καὶ ἡ θεότης, οὐκ ἂν εἰκότως εἰς πλῆθος τὸ

9 I Cor 12, 11

CAS OMKP 2 κατὰ τὴν ὑπερκόσμιον φύσιν: τῆς ὑπερκοσμίου φύσεως syr 2-4 verba ἥτε — κατορθουμένων om exc, in marg add exc² 6 τῇ om A θεωρουμένων OMKP v: om cet 7 ἐφ' CS exc syr: ἀφ' cet 8 ante τοῦ alt add διὰ O v 9 ἴδια syr 9-10 τὰ ἀγαθὰ ἰδίᾳ ἑκάστῳ exc 12 verba ἀλλ' — προεπινοουμένη: ἀλλὰ προεπινοῖται exc¹, in marg add exc² προσεπινοουμένη A, προνοουμένη exc² ταύτης: ταύτην syr 13 ἥτις ἐστὶν om exc, add exc² verba θεὸς — οὗ om exc, in marg add exc² 14 οὐδὲν εἰς γένεσιν τῶν ὄντων OMKP v τῶν ὄντων οὐδὲν C πάλιν coll ante 15 ἡ C 15 post ἀγαθῶν add πάντων exc 16 εἰ δὴ: ἤδη C δὴ: δὲ exc syr 17 τε om exc post βουλῆς add εἴη A 19-21 verba οὐδεμιᾶς — νοουμένης om exc, add in marg exc² 19 παραστάσεως exc θεοῦ exc² 21 γινομένης: ἀγομένης exc² 22 τε καὶ νοημάτων om exc, add (τε om) exc² καὶ om A

ὄνομα διαχέοιτο, τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος κωλυούσης τὴν πληθυντικὴν ἀπαρίθμησιν.

Καὶ ὥσπερ εἷς ὁ πατὴρ σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν ὑπὸ τοῦ ἀποστόλου ὠνόμασται καὶ οὐδεὶς ἐκ τῆς φωνῆς ταύτης ἢ τὸν υἱὸν λέγει μὴ σῴζειν τοὺς πιστεύοντας ἢ δίχα τοῦ πνεύματος τὴν σωτηρίαν τοῖς μετέχουσι γίνεσθαι, ἀλλὰ γίνεται πάντων σωτὴρ ὁ ἐπὶ πάντων θεὸς ἐνεργοῦντος τοῦ υἱοῦ τὴν σωτηρίαν ἐν τῇ τοῦ πνεύματος χάριτι καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο τρεῖς σωτῆρες ὑπὸ τῆς γραφῆς ὀνομάζονται, εἰ καὶ ὁμολογεῖται παρὰ τῆς ἁγίας τριάδος ἡ σωτηρία, οὕτως οὐδὲ τρεῖς θεοὶ κατὰ τὴν ἀποδεδομένην τῆς θεότητος σημασίαν, κἂν ἐφαρμόζῃ τῇ ἁγίᾳ τριάδι ἡ τοιαύτη κλῆσις.

μάχεσθαι δὲ πρὸς τοὺς ἀντιλέγοντας μὴ δεῖν ἐνέργειαν νοεῖν τὴν θεότητα οὐ πάνυ τι τῶν ἀναγκαίων μοι δοκεῖ, ὡς πρὸς τὴν παροῦσαν τοῦ λόγου κατασκευήν. ἡμεῖς μὲν γὰρ ἀόριστον καὶ ἀπερίληπτον τὴν θείαν φύσιν εἶναι πιστεύοντες οὐδεμίαν αὐτῆς ἐπινοοῦμεν περίληψιν, ἀλλὰ κατὰ πάντα τρόπον ἐν ἀπειρίᾳ νοεῖσθαι τὴν φύσιν διοριζόμεθα. τὸ δὲ καθόλου ἄπειρον οὐ τινὶ μὲν ὁρίζεται, τινὶ δὲ οὐχί· ἀλλὰ κατὰ πάντα λόγον ἐκφεύγει τὸν ὅρον ἡ ἀπειρία. οὐκοῦν τὸ ἐκτὸς ὅρου οὐδὲ ὀνόματι πάντως ὁρίζεται. ὡς ἂν οὖν διαμένοι ἐπὶ τῆς θείας φύσεως τοῦ ἀορίστου ἡ ἔννοια, ὑπὲρ πᾶν ὄνομά

3 I Tim 4, 10 22 Phil 2, 9

CAS OMKP 1 κατ' ἐνέργειαν AS 2 ἀρίθμησιν OMKP v 3 οἷς A post εἷς add θεὸς exc πατὴρ C: om cet σωτὴρ om C post πάντων add τῶν A ante μάλιστα add καὶ exc, post μάλιστα add δὲ syr 5 ἢ om exc, add exc[2] λέγειν A σῴζειν τοὺς πιστεύοντας: εἶναι σωτῆρα τῶν πιστῶν exc 6 μετέχουσι: πιστεύουσι exc γενέσθαι C 7 γίνεται: ἐστι exc πάντως syr ὁ om exc, add exc[2] 9 διὰ τοῦτο om A τούτου C ὑπὸ: παρὰ exc 10 ὡμολόγηται exc 11 οὔτε S 12 κἂν: καὶ OMKP ἐφαρμόζῃ S: ἐφαρμόζει cet ἡ τοιαύτη κλῆσις τῇ ἁγίᾳ τριάδι O v 13-15 verba μάχεσθαι — γάρ: φασὶ δέ τινες μὴ ἐνέργειαν εἶναι τὴν θεότητα, ἡμεῖς δὲ exc 14 τι om syr μοι coll post τι C 15 λόγου: καιροῦ A μὲν om P γὰρ om S 16 εἶναι om exc 17 verba οὐδεμίαν — ἀλλὰ om exc 18 τὴν φύσιν: ταύτην exc 21-22 verba ὡς — ἔννοια: δι' ὃ καὶ exc 21 οὖν om A

φαμεν εἶναι τὸ θεῖον, ἡ δὲ θεότης ἓν τῶν ὀνομάτων ἐστίν. οὐκοῦν οὐ δύναται τὸ αὐτὸ καὶ ὄνομα εἶναι καὶ ὑπὲρ πᾶν ὄνομα εἶναι νομίζεσθαι.

Πλὴν εἰ τοῦτο τοῖς ἐναντίοις ἀρέσκοι, μὴ ἐνεργείας ἀλλὰ φύσεως εἶναι τὴν σημασίαν, ἐπαναδραμούμεθα πρὸς τὸν ἐξ ἀρχῆς λόγον, ὅτι τὸ τῆς φύσεως ὄνομα ἡμαρτημένως ἡ συνήθεια εἰς πλήθους σημασίαν ἀνάγει, οὔτε μειώσεως οὔτε αὐξήσεως κατὰ τὸν ἀληθῆ λόγον προσγινομένης τῇ φύσει, 132 M. ὅταν ἐν πλείοσιν ἢ ἐλάττοσι θεωρῆται. μόνα γὰρ κατὰ σύνθεσιν ἀριθμεῖται, ὅσα κατ' ἰδίαν περιγραφὴν θεωρεῖται· ἡ δὲ περιγραφὴ ἐν ἐπιφανείᾳ σώματος καὶ μεγέθει καὶ τόπῳ καὶ τῇ διαφορᾷ τῇ κατὰ τὸ σχῆμα καὶ χρῶμα καταλαμβάνεται· τὸ δὲ ἔξω τούτων θεωρούμενον ἐκφεύγει τὴν διὰ τῶν τοιούτων περιγραφήν. ὃ δὲ μὴ περιγράφεται οὐκ ἀριθμεῖται, τὸ δὲ μὴ ἀριθμούμενον ἐν πλήθει θεωρηθῆναι οὐ δύναται. ἐπεὶ καὶ τὸν χρυσόν φαμεν, κἂν εἰς πολλοὺς διακερματίζηται τύπους, ἕνα καὶ εἶναι καὶ λέγεσθαι· πολλὰ δὲ νομίσματα καὶ πολλοὺς στατῆρας ὀνομάζομεν, οὐδένα τῆς φύσεως τοῦ χρυσοῦ πλεονασμὸν ἐν τῷ πλήθει τῶν στατήρων εὑρίσκοντες. διὸ καὶ πολὺς ὁ χρυσὸς λέγεται, ὅταν ἐν ὄγκῳ πλείονι ἢ σκεύεσιν ἢ νομίσμασι θεωρῆται, πολλοὶ δὲ οἱ χρυσοὶ διὰ τὸ πλῆθος τῆς ὕλης οὐκ ὀνομάζονται· εἰ μή τις οὕτω λέγοι, χρυσοὺς πολλούς, ὡς τοὺς δαρεικοὺς ἢ τοὺς στατῆρας, ἐφ' ὧν οὐχ ἡ ὕλη ἀλλὰ τὰ κέρματα τὴν τοῦ πλήθους σημασίαν ἐδέξατο. κυρίως γὰρ ἔστιν οὐχὶ χρυσοὺς ἀλλὰ χρυσέους

CAS OMKP 1 φαμεν coll post θεῖον S, post εἶναι A δὲ om A 2 οὐκοῦν οὐ: ὥστε exc 3 εἶναι om OMKP exc v 4 ἀρέσκοι: ἀρέσκει A exc, om syr ante μὴ add οἷς A ἐνεργείᾳ syr b 7 πλῆθος σημασίας A ἀνάγει AS: ἄγει cet 8 λόγον om A 9 θεωρεῖται CA MK, corr K[2] μόνον exc post γὰρ add ἐκεῖνα, sed rursus del C ἐκεῖνα γὰρ μόνον syr 12 τῇ ante διαφορᾷ om exc χρῶμα: σῶμα exc 15 θεωρηθῆναι οὐ δύναται: οὐ θεωρεῖται exc 16 διακερματίζεται A 20 ἐν om A OMKP v 21 θεωρεῖται A 22 ante εἰ add πλὴν S τι A οὕτω om exc syr λέγει exc 24 τὸ κέρμα exc 25 ἐδέξαντο OMKP v χρυσούς: χρυσὸν A χρυσέους: χρυσίους exc

τούτους εἰπεῖν. ὥσπερ τοίνυν πολλοὶ μὲν οἱ χρύσεοι στατῆρες, χρυσὸς δὲ εἷς, οὕτω καὶ πολλοὶ μὲν οἱ καθ' ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου δεικνύμενοι, οἷον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, εἷς δὲ ἐν τούτοις ὁ ἄνθρωπος. κἂν ἡ γραφὴ πλατύνῃ τὸ ὄνομα κατὰ πληθυντικὴν σημασίαν ἐν τῷ λέγειν Ἄνθρωποι κατὰ τοῦ μείζονος ὀμνύουσι καὶ Υἱοὶ ἀνθρώπων, καὶ ὅσα τοιαῦτα, γνωστέον ὅτι τῇ συνηθείᾳ τῆς ἐπικρατούσης διαλέκτου κεχρημένη οὐχὶ νομοθετεῖ τὸ δεῖν οὕτως ἢ ὡς ἑτέρως κεχρῆσθαι τοῖς ῥήμασιν οὐδέ τινα τεχνικὴν περὶ ῥημάτων διδασκαλίαν ποιουμένη ταῦτα διέξεισιν, ἀλλὰ κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν χρῆται τῷ λόγῳ, πρὸς τοῦτο βλέπουσα μόνον, ὅπως ἂν ἐπωφελὴς γένοιτο τοῖς δεχομένοις ὁ λόγος, οὐδὲν ἀκριβολογουμένη κατὰ τὴν λέξιν, ἐν οἷς οὐδεμία βλάβη κατὰ διάνοιαν ἐκ τῶν ῥημάτων συνίσταται.

Καὶ μακρὸν ἂν εἴη τὰς σολοικοφανεῖς τοῦ λόγου συντάξεις ἐκ τῆς γραφῆς καταλέγειν εἰς τὴν τῶν εἰρημένων ἀπόδειξιν· ἐν οἷς δὲ κίνδυνός ἐστι βλαβῆναί τι τῆς ἀληθείας, οὐκέτι τὸ ἀβασάνιστόν τε καὶ ἀδιάφορον ἐν τοῖς γραφικοῖς εὑρίσκεται ῥήμασιν. διὰ τοῦτο ἀνθρώπους συγχωρεῖ πληθυντικῶς ὀνομάζειν διὰ τὸ μηδένα τῷ τοιούτῳ σχήματι τῆς φωνῆς εἰς πλῆθος ἀνθρωποτήτων ταῖς ὑπονοίαις ἐκπίπτειν, μηδὲ νομίζειν πολλὰς ἀνθρωπίνας φύσεις σημαίνεσθαι διὰ τὸ πληθυντικῶς ἐξαγγελθῆναι τὸ τῆς φύσεως ὄνομα· τὴν δὲ θεὸς φωνὴν παρατετηρημένως κατὰ τὸν ἑνικὸν ἐξαγγέλλει

6 Hebr 6, 16 Ps 90, 3 aliisque locis

CAS OMKP 2 ἐν om exc 3 καὶ om exc 4 ὁ om OMKP v 5 πλατύνει C ante κατὰ add ὡς syr 8 οὐχὶ: οὐδὲ syr 8-9 οὕτως ἢ ὡς: οὕτω καὶ μὴ syr 9 ὡς om AS exc 9-10 verba οὐδέ τίνα — ποιουμένη om exc, add exc² 11 verba κατὰ — λόγῳ om exc χρῆσαι A 12 βλέπει exc 13-20 verba οὐδὲν — ῥήμασιν om exc, in marg add exc² 18 τι om exc² syr τὴν ἀλήθειαν syr 20 post τοῦτο add τὸ AS post ἀνθρώπους add μὲν exc 23-24 verba μηδὲ — ὄνομα om exc 24 τὸ (post διὰ): τοῦ C 25 θεοῦ syr παρατετηρήκαμεν exc expl P ante κατὰ add ὅτι exc ἐξαγγέλλειν C

τύπον, τοῦτο προμηθουμένη, τὸ μὴ διαφόρους φύσεις ἐπὶ τῆς θείας οὐσίας ἐν τῇ πληθυντικῇ σημασίᾳ τῶν θεῶν παρεισάγεσθαι. διό φησι Κύριος ὁ θεὸς κύριος εἷς ἐστιν· ἀλλὰ καὶ τὸν μονογενῆ θεὸν τῇ τῆς θεότητος ἀνακηρύσσει φωνῇ καὶ οὐ διαλύει τὸ ἓν εἰς δυϊκὴν σημασίαν, ὥστε δύο θεοὺς
133 M. τὸν πατέρα καὶ τὸν υἱὸν ὀνομάσαι, κἂν ἑκάτερος θεὸς παρὰ τῶν ἁγίων κηρύσσηται· ἀλλὰ θεὸς μὲν ὁ πατήρ, θεὸς δὲ ὁ υἱός, εἷς δὲ ἐν τῷ αὐτῷ κηρύγματι ὁ θεὸς διὰ τὸ μήτε φύσεως μήτε ἐνεργείας ἐνθεωρεῖσθαί τινα διαφορὰν τῇ θεότητι. εἰ γὰρ παρήλλακτο κατὰ τὴν τῶν ἠπατημένων ὑπόνοιαν ἐπὶ τῆς ἁγίας τριάδος ἡ φύσις, ἀκολούθως ἂν εἰς πλῆθος θεῶν ὁ ἀριθμὸς ἐπλατύνετο, τῇ ἑτερότητι τῆς οὐσίας τῶν ὑποκειμένων συνδιαιρούμενος. ἐπεὶ δὲ πᾶσαν ἀπωθεῖται τὴν κατ' οὐσίαν ἑτερότητα ἡ θεία τε καὶ ἁπλῆ καὶ ἀναλλοίωτος φύσις, ἕως ἂν μία ᾖ, πλήθους σημασίαν ἐφ' ἑαυτῆς οὐ προσίεται. ἀλλ' ὥσπερ μία λέγεται φύσις, οὕτω καὶ τὰ ἄλλα πάντα ἑνικῶς ὀνομάζεται, θεός, ἀγαθός, ἅγιος, σωτήρ, δίκαιος, κριτής, καὶ εἴ τι ἄλλο τῶν θεοπρεπῶν ὀνομάτων νοεῖται, ὃ εἴτε πρὸς φύσιν εἴτε πρὸς ἐνέργειαν βλέπειν τις λέγει, οὐ διοισόμεθα.

Εἰ δέ τις συκοφαντοίη τὸν λόγον ὡς ἐκ τοῦ μὴ δέχεσθαι τὴν κατὰ φύσιν διαφορὰν μίξιν τινὰ τῶν ὑποστάσεων καὶ ἀνακύκλησιν κατασκευάζοντα τοῦτο περὶ τῆς τοιαύτης ἀπολογησόμεθα μέμψεως, ὅτι τὸ ἀπαράλλακτον τῆς φύσεως

3 Deut 6, 4

CAS OMK 1 τόπον v τὸ: τοῦ exc 3 post θεὸς add σου S, add μου exc καὶ: κἂν exc 4 τῇ τῆς θεότητος ἀνακηρύσσει φωνῇ: ἡ θεὸς ἀνακηρύσσει φωνή exc 5 καὶ om exc 6 κἂν: οὔτε syr b ἑκάτερον A, ἕτερος syr 7 κηρύσσεται A MK exc, corr K² 8 ante διὰ add ἀλλὰ exc 9 φύσει syr ἐνεργείᾳ syr θεωρεῖσθαι exc 9-10 τῆς θεότητος syr 10 τὰς - - - ὑπονοίας syr 11 ἂν exc: om cet 13 ἀποθεῖται A 15 ἕως C exc syr: ὡς cet 16 λέγηται exc 19 νοεῖται om C ὃ C: om cet εἴτε post ὃ om A exc, εἰ syr 19-20 λέγει τις βλέπειν AS 20 λέγῃ OM v 21 ἐκ τοῦ: ἐν τῷ syr 22 τῶν ὑποστάσεων: ἐν ταῖς ὑποστάσεσιν syr 23 κατασκευάζοντα καὶ ἀνακύκλησιν exc τούτῳ A 24 ante ὅτι add φαμὲν exc

ὁμολογοῦντες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι τὸ δὲ ἐκ τοῦ αἰτίου· καὶ τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν· τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ υἱοῦ μεσιτείας καὶ αὐτῷ τὸ μονογενὲς φυλαττούσης καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης.

Αἴτιον δὲ καὶ ἐξ αἰτίου λέγοντες οὐχὶ φύσιν διὰ τούτων τῶν ὀνομάτων σημαίνομεν (οὐδὲ γὰρ τὸν αὐτὸν ἄν τις αἰτίας καὶ φύσεως ἀποδοίη λόγον), ἀλλὰ τὴν κατὰ τὸ πῶς εἶναι διαφορὰν ἐνδεικνύμεθα. εἰπόντες γὰρ τὸ μὲν αἰτιατῶς τὸ δὲ ἄνευ αἰτίας εἶναι οὐχὶ τὴν φύσιν τῷ κατὰ τὸ αἴτιον λόγῳ διεχωρίσαμεν, ἀλλὰ μόνον τὸ μήτε τὸν υἱὸν ἀγεννήτως εἶναι μήτε τὸν πατέρα διὰ γεννήσεως ἐνεδειξάμεθα. πρότερον δὲ ἡμᾶς εἶναί τι πιστεύειν ἐπάναγκες, καὶ τότε πῶς ἐστι τὸ πεπιστευμένον περιεργάσασθαι· ἄλλος οὖν ὁ τοῦ τί ἐστι καὶ ἄλλος ὁ τοῦ πῶς ἐστι λόγος. τὸ οὖν ἀγεννήτως εἶναί τι λέγειν, πῶς μέν ἐστιν ὑποτίθεται, τί δέ ἐστι τῇ φωνῇ ταύτῃ οὐ συνενδείκνυται. καὶ γὰρ εἰ περὶ δένδρου τινὸς ἠρώτησας τὸν γεωργόν, εἴτε φυτευτὸν εἴτε αὐτομάτως ἐστίν, ὁ δὲ ἀπεκρίνατο ἢ ἀφύτευτον εἶναι τὸ δένδρον ἢ ἐκ φυτείας γενόμενον, ἆρα τὴν φύσιν διὰ τῆς ἀποκρίσεως ἐνεδείξατο

CAS OMK 2 ἐν om exc 3 τῷ om A 4 καὶ τοῦ: καὶ τὸ syr a, τὸ syr b, om syr c ὄντως A 5-6 verba τὸ δὲ — πρώτου om A syr, in marg add A² 6 προσεχοὺς C μονογενὴς A 7 ἐπὶ: εἴη A 8 ἑαυτῷ AS exc 11 ante ἐξ add τὸ v φύσεις exc 11-12 τῶν ὀνομάτων τούτων exc 12 οὐδὲ: οὐ A exc τὸν: τό τε syr 13 κατὰ om syr τὸ: τοῦ A syr 14 τὸν μὲν OMK v, ut vid syr αἰτιατὸν OMK v τὸν δὲ OMK v, ut vid syr 15 εἶναι om A OMK v αἴτιον om v 16 διεχωρήσαμεν C 17 δίχα exc γενέσεως C 18 τι coll post πιστεύειν A OMK v 19 περιεργάζεσθαι S exc τί om exc 22-57, 4 verba καὶ — ἠκούσαμεν in marg exc 22 γὰρ om exc 24 ἀπεκρίνετο A 25 γενόμενον om v

ὁ μόνον τὸ πῶς ἐστιν εἰπὼν ἢ ἄδηλον καὶ ἀνερμήνευτον τὸν τῆς φύσεως ἀπέλιπε λόγον; οὕτω καὶ ἐνταῦθα ἀγέννητον μαθόντες ὅπως μὲν αὐτὸν εἶναι προσήκει νοεῖν ἐδιδάχθημεν, ὅ, τι δέ ἐστι διὰ τῆς φωνῆς οὐκ ἠκούσαμεν. τὴν οὖν τοιαύτην διαφορὰν ἐπὶ τῆς ἁγίας τριάδος λέγοντες, ὡς τὸ μὲν αἴτιον τὸ δὲ ἐξ αἰτίου εἶναι πιστεύειν, οὐκέτ' ἂν ἐν τῷ κοινῷ τῆς φύσεως τὸν τῶν ὑποστάσεων λόγον συντήκειν αἰτιαθείημεν.

Ἐπειδὴ τοίνυν τὰς μὲν ὑποστάσεις ἐπὶ τῆς ἁγίας τριάδος
136 M. ὁ τοῦ αἰτίου διακρίνει λόγος, τὸ μὲν ἀναιτίως εἶναι τὸ δὲ ἐκ τοῦ αἰτίου πρεσβεύων, ἡ δὲ θεία φύσις ἀπαράλλακτός τε καὶ ἀδιαίρετος διὰ πάσης ἐννοίας καταλαμβάνεται, διὰ τοῦτο κυρίως μία θεότης καὶ εἷς θεὸς καὶ τὰ ἄλλα πάντα τῶν θεοπρεπῶν ὀνομάτων μοναδικῶς ἐξαγγέλλεται.

CAS OMK 1 ὁ C: οὐ cet ante μόνον add μὲν οὖν ἀλλὰ O exc v μόνον τὸ om O v ἢ A MK syr: eras S om cet τὸν om A 3 εἶναι om A ante προσήκει add καὶ OMK v, add ἡμῖν syr 4 οὖν om exc 5 ante διαφορὰν add δὲ exc 5-6 τὸ(ν) μὲν αἰτίαν, τὸ(ν) δὲ ἐξ αἰτίας syr 6 τὸ δὲ: τὰ δὲ exc πιστεύειν εἶναι C 7 συντήκειν cod Estensis 79 quod ex syr probavit Langerbeck: συστήκειν C, συνεστηκέναι S, συνέστηκεν A, συντίκτειν OMK v, συγχέειν exc αἰτιάθημεν A 8 ἐπεὶ exc ἐπὶ om v 9 διακρίνεται A τὸ(ν) μὲν syr τὸ(ν) δὲ syr 12 καὶ εἷς θεὸς: ἑνὸς θεοῦ syr b

AD SIMPLICIUM
DE FIDE

CONSPECTUS SIGLORUM
(De fide)

A codex Venetus Marcianus gr. 68 membranaceus saec. XII

Λ codex Musei Britannici Old Royal 16 D I saec. XII

S codex Vaticanus gr. 1907 chartaceus saec. XII (XIII)

E codex Vaticanus gr. 446 membranaceus saec. XII

J codex Vindobonensis theol. gr. 35 chartaceus saec. XIII

O codex Monacensis gr. 370 membranaceus saec. X

M codex Ambrosianus C 135 inf. membranaceus saec. XI

K codex Venetus Marcinaus gr. 67 membranaceus saec. XI

P codex Vaticanus Pii II 4 membranaceus saec. XI

v textus vulgatus editionis Parisinae (1638) et Mignei

1 aut 2 sigillo additum manum primam aut secundam codicis significat

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ
ΠΡΟΣ ΣΙΜΠΛΙΚΙΟΝ
ΠΕΡΙ ΠΙΣΤΕΩΣ

Σιμπλικίῳ τριβούνῳ Γρηγόριος περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος

136 M. Κελεύει ὁ θεὸς διὰ τοῦ προφήτου μηδένα πρόσφατον θεὸν εἶναι νομίζειν μηδὲ προσκυνεῖν θεῷ ἀλλοτρίῳ. οὐκοῦν δῆλόν ἐστιν, ὅτι πρόσφατον λέγεται ὃ μὴ ἐξ ἀϊδίου ἐστίν καὶ ἐκ τοῦ ἐναντίου πάλιν ἀΐδιον λέγεται ὃ μὴ πρόσφατόν ἐστιν. ὁ τοίνυν μὴ ἐξ ἀϊδίου τὸν μονογενῆ θεὸν ἐκ τοῦ πατρὸς εἶναι πιστεύων πρόσφατον εἶναι αὐτὸν οὐκ ἀρνεῖται· τὸ γὰρ μὴ ἀΐδιον πρόσφατον πάντως. πᾶν δὲ τὸ πρόσφατον θεὸς οὐκ ἔστιν, καθὼς εἶπεν ἡ γραφὴ ὅτι Οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος. ἄρα ὁ λέγων ὅτι ποτὲ οὐκ ἦν ὁ υἱὸς ἀρνεῖται αὐτοῦ τὴν θεότητα. πάλιν ἀλλότριον θεὸν προσκυνεῖν κωλύει ὁ λέγων Οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ. ὁ δὲ ἀλλότριος τῇ πρὸς τὸν ἴδιον ἡμῶν θεὸν ἀντιδιαστολῇ θεωρεῖται. τίς οὖν ὁ ἴδιος ἡμῶν ἐστι θεός; δῆλον ὅτι ὁ
137 M. ἀληθινὸς θεός. τίς δὲ ὁ ἀλλότριος; πάντως ὁ τῆς τοῦ ἀληθινοῦ

1 Ps 80, 10 8 Ps 80, 10

ΑΛS E J OKP Tit τοῦ αὐτοῦ πρὸς σιμπλίκιον περὶ πίστεως OKP, τοῦ ἐν ἁγίοις Γρηγορίου περὶ πίστεως πρὸς Σιμπλίκιον v, σιμπλικίω τριβούνω γρηγόριος περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ΑΛ J, τοῦ αὐτοῦ σιμπλικίω τριβούνω περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος E, σιμπλικίω τριβούνω κατὰ ἀρειανῶν καὶ ἀνομοίων καὶ πνευματομάχων S 2 ante εἶναι add θεὸν OP v εἶναι om E ἀλλοτρίῳ θεῷ OKP v 6 αὐτὸν εἶναι OKP v 7 verba τὸ — πάντως om S 8 οὐκ ἔστι θεός AS ἔσται: ἐστιν ΑΛS E J (cf c Eunom II 324, 13 Jaeger) ἐν σοὶ om E 9 ὁ υἱὸς: ὁ om ΑΛS J, add EΛ², οὗτος OKP v 11 οὐδέποτε OKP v (cf Ps 80, 10 et c Eunom II 324, 14 Jaeger) 12 θεὸν om S 13 θεός ἐστι K ὅτι om ΑΛS E 14 ὁ ante ἀλλότριος om ΑΛ E

θεοῦ φύσεως ἀλλοτρίως ἔχων. εἰ οὖν ἴδιος ἡμῶν θεὸς ὁ ἀληθινός ἐστι θεός, ἐὰν μὴ ᾖ τῆς τοῦ ἀληθινοῦ φύσεως ὁ μονογενὴς θεός, καθὼς λέγουσιν οἱ αἱρετικοί, ἀλλότριός ἐστι καὶ οὐχ ἡμέτερος. λέγει δὲ τὸ εὐαγγέλιον ὅτι τὰ πρόβατα ἀλλοτρίῳ οὐ μὴ ὑπακούσῃ. ὁ λέγων κτιστὸν αὐτὸν εἶναι ἀλλότριον τῆς τοῦ ἀληθινοῦ θεοῦ φύσεως εἶναι κατασκευάζει. τί οὖν ποιήσουσιν οἱ λέγοντες ὅτι κτιστός ἐστιν; προσκυνοῦσι τὸν κτιστὸν αὐτῶν θεὸν ἢ οὐχί; εἰ μὲν γὰρ οὐ προσκυνοῦσιν, ἰουδαΐζουσιν ἀρνούμενοι τοῦ Χριστοῦ τὴν προσκύνησιν· εἰ δὲ προσκυνοῦσιν, εἰδωλολατροῦσι· τὸν γὰρ ἀλλότριον τοῦ ἀληθινοῦ θεοῦ προσκυνοῦσιν. ἀλλὰ μὴν ἐπίσης ἀσεβὲς καὶ μὴ προσκυνεῖν τὸν υἱὸν καὶ προσκυνεῖν τὸν ἀλλότριον θεόν. χρὴ ἄρα τοῦ ἀληθινοῦ πατρὸς ἀληθινὸν τὸν υἱὸν λέγειν, ἵνα καὶ προσκυνῶμεν αὐτὸν καὶ μὴ κατακριθῶμεν ὡς ἀλλότριον προσκυνοῦντες θεόν.

Πρὸς δὲ τοὺς λέγοντας τὸ ἐκ τῆς παροιμίας ὅτι Κύριος ἔκτισέ με καὶ διὰ τοῦτο νομίζοντας ἰσχυρόν τι λέγειν περὶ τοῦ κτιστὸν εἶναι τὸν πάντων κτίστην καὶ δημιουργὸν ταῦτα προσήκει λέγειν ὅτι πολλὰ δι' ἡμᾶς ἐγένετο ὁ μονογενὴς θεός· καὶ γὰρ καὶ λόγος ὢν σάρξ ἐγένετο καὶ θεὸς ὢν ἄνθρωπος ἐγένετο καὶ ἀσώματος ὢν σῶμα ἐγένετο καὶ ἔτι πρὸς τούτοις καὶ ἁμαρτία καὶ κατάρα καὶ λίθος καὶ ἀξίνη καὶ ἄρτος καὶ πρόβατον καὶ ὁδὸς καὶ θύρα καὶ πέτρα καὶ πολλὰ τοιαῦτα ἐγένετο οὐδὲν τούτων τῇ φύσει ὤν,

4 Joh 10, 5   16 Prov 8, 22 (cf c Eunom I p 108, 28 sq Jaeger; II p 13, 1 sq; 18, 10 sq)

AΛS E J OMKP 1 φύσεως θεοῦ K   θεὸς om OKP v   2 ἐστιν ὁ ἀληθινὸς OKP v   ἐὰν: ἂν v   θεοῦ post ἀληθινοῦ add OK v   2-3 verba ἐὰν — θεός om A   post ἀλλότριος add θεὸς OKP v   5 ὑπακούσωσιν E   lacunam ante ὁ suspicatus est Jaeger, verba ὁ — κατασκευάζει (6) fort secludenda sunt   6 θεοῦ om AS   7 ποιοῦσιν OMKP v   a verbo προσκυνοῦσι inc M   8 αὐτὸν E OMKP v   θεὸν om OMKP v   12 υἱὸν: θεὸν E   13 post ἀληθινὸν add θεὸν E J   14 καὶ post ἵνα om OMKP v   16 ante κύριος add ὁ AΛS   19-20 post μονογενὴς add in marg υἱὸς τοῦ θεοῦ καὶ θεός M²   20-21 verba καὶ θεὸς — ἐγένετο om S

ἀλλὰ δι' ἡμᾶς κατ' οἰκονομίαν γενόμενος. ὥςπερ οὖν λόγος ὢν δι' ἡμᾶς ἐγένετο σὰρξ καὶ θεὸς ὢν ἄνθρωπος ἐγένετο, οὕτω καὶ κτίστης ὢν δι' ἡμᾶς κτίσις ἐγένετο· κτιστὴ γὰρ ἡ σάρξ. ὡς οὖν εἶπε διὰ τοῦ προφήτου ὅτι Οὕτως λέγει κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον αὐτοῦ, οὕτως εἶπε καὶ διὰ τοῦ Σολομῶντος τὸ Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πᾶσα γὰρ <ἡ> κτίσις δουλεύει, καθώς φησιν ὁ ἀπόστολος. οὐκοῦν καὶ ὁ ἐν τῇ κοιλίᾳ τῆς παρθένου πλασθεὶς κατὰ τὸν λόγον τοῦ προφήτου ὁ δοῦλός ἐστιν, οὐχ ὁ κύριος, τουτέστιν ὁ κατὰ σάρκα ἄνθρωπος, ἐν ᾧ ὁ θεὸς ἐφανερώθη, καὶ ἐνταῦθα ὁ κτισθεὶς εἰς ἀρχὴν ὁδῶν αὐτοῦ οὐχ ὁ θεός ἐστιν ἀλλ' ὁ ἄνθρωπος, ἐν ᾧ ἡμῖν ὁ θεὸς ἐφανερώθη ἐπὶ τῷ τὴν καταφθαρεῖσαν ὁδὸν τῆς ἀνθρωπίνης σωτηρίας
140 M. πάλιν ἀνανεώσασθαι. ὥστε ἐπειδὴ δύο περὶ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον τὸ δὲ ἀνθρώπινον (ἐν μὲν τῇ φύσει τὸ θεῖον, ἐν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον), ἀκολούθως τὸ μὲν ἀΐδιον τῇ θεότητι προσμαρτυροῦμεν, τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ὡς γὰρ κατὰ τὸν προφήτην ἐν τῇ κοιλίᾳ ἐπλάσθη δοῦλος, οὕτως καὶ κατὰ τὸν Σολομῶντα διὰ τῆς δουλικῆς ταύτης κτίσεως ἐν σαρκὶ ἐφανερώθη.

Ὅταν δὲ λέγωσιν ὅτι εἰ ἦν, οὐκ ἐγεννήθη, καὶ εἰ ἐγεννήθη, οὐκ ἦν, διδαχθήτωσαν ὅτι οὐ χρὴ τὰ τῆς σαρκικῆς γεννήσεως ἰδιώματα ἐφαρμόζειν τῇ θείᾳ φύσει. σώματα μὲν γὰρ μὴ ὄντα γεννᾶται, ὁ δὲ θεὸς τὰ μὴ ὄντα εἶναι ποιεῖ, οὐκ αὐτὸς ἐκ τοῦ μὴ ὄντος γίνεται. διὸ καὶ ὁ Παῦλος ἀπαύγασμα δόξης αὐτὸν ὀνομάζει, ἵνα διδαχθῶμεν ὅτι, ὥσπερ τὸ ἐκ

4 Jes 49, 5 6 Prov 8, 22 7 Rom 8, 21 et 22 (cf c Eunom II p 7, 6 sq; 7, 13 Jaeger) Judith 16, 14 26 Hebr 1, 3

ΑΛS E J OMKP 1 γενόμενος: ἐγένετο ΑΛS E J 3 κτίσις: κτίσμα OKP v κτιστὴ: κτίσμα P 5 ἐν κοιλίᾳ supra add M^2 7 εἰς ἔργα αὐτοῦ om E ἡ addidi 7-8 verba πᾶσα — ἀπόστολος om OMKP 8 ante παρθένου add γ (= ἁγίας?) O 9 post πλασθεὶς add καὶ θεοτόκου in marg M^2 13 τῷ Λ E M O^2: τὸ cet 19 ἐκ κοιλίας ΑΛS E J 22 ὅτι om OMKP 24 γενέσεως ΑΛS E J

τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεώς ἐστι τοῦ ἀπαυγάζοντος καὶ μετ' ἐκείνου ἐστίν (ὁμοῦ τε γὰρ ἐξεφάνη ὁ λύχνος καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν), οὕτω κελεύει καὶ ἐνταῦθα νοεῖν ὁ ἀπόστολος, ὅτι καὶ ἐκ τοῦ πατρὸς ὁ υἱὸς καὶ οὐδέποτε χωρὶς τοῦ υἱοῦ ὁ πατήρ· οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ εἶναι τήν δόξαν, ὡς οὐκ ἐγχωρεῖ ἄνευ ἀπαυγάσματος εἶναι τὸν λύχνον. δῆλον δὲ ὅτι, ὥσπερ τὸ εἶναι ἀπαύγασμα μαρτυρία ἐστὶ τοῦ καὶ τὴν δόξαν εἶναι (μὴ γὰρ οὔσης τῆς δόξης οὐκ ἂν εἴη τὸ ἐκ ταύτης ἀπαυγαζόμενον), οὕτω τὸ λέγειν μὴ εἶναί ποτε ἀπαύγασμα ἀπόδειξίς ἐστι τοῦ μηδὲ τὴν δόξαν εἶναι, ὅτε οὐκ ἦν τὸ ἀπαύγασμα· τὴν γὰρ δόξαν ἄνευ ἀπαυγάσματος εἶναι ἀμήχανον. ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ ἀπαυγάσματος λέγειν ὅτι εἰ ἦν, οὐκ ἐγένετο, καὶ εἰ ἐγένετο, οὐκ ἦν, οὕτω μάταιόν ἐστι περὶ τοῦ υἱοῦ ταῦτα λέγειν, διότι ὁ υἱός ἐστι τὸ ἀπαύγασμα.

Οἱ δὲ τὸ μικρότερον καὶ τὸ μεῖζον ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς λέγοντες διδαχθήτωσαν παρὰ τοῦ Παύλου μὴ μετρεῖν τὰ ἀμέτρητα· ὁ γὰρ ἀπόστολος τὸν υἱὸν χαρακτῆρα λέγει τῆς τοῦ πατρὸς ὑποστάσεως. δῆλον οὖν ὅτι, ὅση ἂν ᾖ ἡ ὑπόστασις ἡ τοῦ πατρός, τοσοῦτος καὶ ὁ χαρακτήρ ἐστι τῆς ὑποστάσεως· οὐ γὰρ ἐνδέχεται μικρότερον εἶναι τὸν χαρακτῆρα τῆς θεωρουμένης ἐν αὐτῷ ὑποστάσεως. ἀλλὰ καὶ ὁ μέγας Ἰωάννης τὰ αὐτὰ διδάσκει λέγων ὅτι Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. ἐκ γὰρ τοῦ εἰπεῖν ὅτι ἐν ἀρχῇ ἦν καὶ οὐ μετὰ τὴν ἀρχήν, ἔδειξεν ὅτι οὐδέποτε

17 II Cor 10, 13 18 Hebr 1, 3 23 Joh 1, 1 26 cf c Eunom II p 53, 26; 178, 7 sq (Jaeger)

ΑΛS E J OMKP 1 verba καὶ — ἐστι om $Λ^1$, add $Λ^2$ 4 καὶ post ὅτι om ΑΛS E J 5 γὰρ om AS 8 καὶ: κατὰ OMKP v τὴν om AS 10 ποτε: τε v μηδὲ: μήτε ΑΛS E 19 οὖν: om A, γὰρ Λ 19-20 ὅση ἂν ἡ ὑπόστασις ᾖ τοῦ πατρὸς OMKP v 21 εἶναι μικρότερον OMPK v 23 ταῦτα OMKP v ὅτι om OMKP v 24 ἐκ γὰρ τοῦ: ἐν γὰρ τῷ E 25 verba καὶ — ἀρχήν om ΑΛS οὐχὶ: οὐ OMKP v ἔδειξεν: ἐδίδαξεν ΑΛS E J (cf autem διδάσκει (23) atque ἐσήμανεν (65, 3), quod congruit verbo ἔδειξεν)

ἄλογος ἦν ἡ ἀρχή. ἐκ δὲ τοῦ ἀποδεῖξαι, ὅτι καὶ ὁ λόγος ἦν
141 M. πρὸς τὸν θεόν, τὸ ἀνελλιπὲς τοῦ υἱοῦ ὡς πρὸς τὸν πατέρα ἐσήμανεν· ὅλῳ γὰρ τῷ θεῷ ὅλος συνθεωρεῖται ὁ λόγος. εἰ γὰρ ἐλλιπὴς ἦν ἐν τῷ ἰδίῳ μεγέθει ὁ λόγος, ὥστε μὴ δύνασθαι πρὸς ὅλον τὸν θεὸν εἶναι, ἀνάγκη πᾶσα ἄλογον εἶναι τοῦ θεοῦ νομίζειν τὸ ὑπερεκπίπτον τοῦ λόγου. ἀλλὰ μὴν πάσῃ τοῦ θεοῦ τῇ μεγαλειότητι ἡ τοῦ λόγου μεγαλειότης συνθεωρεῖται. ἄρα οὐκ ἔχει χώραν ἐπὶ τῶν θείων δογμάτων τὸ μεῖζον λέγειν καὶ τὸ μικρότερον.

Οἱ δὲ λέγοντες τὸ γεννητὸν τῷ ἀγεννήτῳ εἶναι κατὰ τὴν φύσιν ἀνόμοιον διδαχθήτωσαν μὴ μωραίνειν ἐκ τοῦ κατὰ τὸν Ἄβελ καὶ τὸν Ἀδὰμ ὑποδείγματος· καὶ γὰρ καὶ ὁ Ἀδὰμ κατὰ τὴν φυσικὴν τῶν ἀνθρώπων γέννησιν οὐκ ἐγεννήθη, ὁ δὲ Ἄβελ ἐκ τοῦ Ἀδὰμ ἐγεννήθη. ἀλλὰ μὴν ὁ μὴ γεννηθεὶς ἀγέννητος λέγεται καὶ ὁ γεννηθεὶς γεννητός· οὐδὲν δὲ ἐκώλυσε τὸ μὴ γεγεννῆσθαι τὸν Ἀδὰμ πρὸς τὸ ἄνθρωπον εἶναι. οὐδὲ ἡ γέννησις τὸν Ἄβελ ἄλλο τι παρὰ τὴν ἀνθρωπίνην φύσιν ἐποίησεν, ἀλλὰ καὶ οὗτος ἄνθρωπος κἀκεῖνος, εἰ καὶ ὁ μὲν γεννηθεὶς ἦν, ὁ δὲ δίχα γεννήσεως. ἄρα καὶ ἐπὶ τῶν θείων δογμάτων τὸ μὴ γεννηθῆναι καὶ τὸ γεννηθῆναι διαφορὰν οὐκ ἐξεργάζεται φύσεως, ἀλλ' ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ ἀνθρωπότης μία, οὕτω καὶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ θεότης μία.

Καὶ περὶ τοῦ πνεύματος δὲ τοῦ ἁγίου οἱ βλασφημοῦντες τὸ αὐτὸ λέγουσιν ὃ καὶ περὶ τοῦ κυρίου, ὅτι ἐστὶ καὶ τοῦτο κτιστόν, καὶ ἡ ἐκκλησία ἐπίσης ὡς περὶ τοῦ υἱοῦ, οὕτως

ΑΛS E J OMKP 3 ὅλος: ὅλως P 6 ὑπερπίπτον OMKP v μὴν om E 7 τῇ om OMKP v 10 τῷ ἀγεννήτῳ om ΑΛS 12 καὶ post γὰρ om E 13 τῶν: τὸν O 14 verba ὁ — ἐγεννήθη om E 15 verba καὶ — γεννητός om OMKP v post καὶ add λέγεται Λ, post γεννηθεὶς add ἐξ αὐτοῦ Ἄβελ E 16 τὸν Ἀδὰμ τὸ μὴ γεννηθῆναι OMKP v 18 παρὰ om Α Λ 21 ἐργάζεται Λ 23 ante τοῦ υἱοῦ add ἐπὶ OMKP E v 25 καὶ περὶ: περὶ δὲ (δὲ post πνεύματος omisso) OMKP v ante οἱ add καὶ OMKP v οἱ om E 27 καὶ ἡ: ἡ δὲ OMKP v ὡς περὶ: ὥσπερ ἐπὶ ΑΛS

καὶ περὶ τοῦ ἁγίου πνεύματος πιστεύει, ὅτι ἐστὶν ἄκτιστον· διότι πᾶσα ἡ κτίσις ἐκ τῆς τοῦ ὑπερκειμένου ἀγαθοῦ μετουσίας γίνεται ἀγαθή, τὸ δὲ πνεῦμα τὸ ἅγιον οὐ προσδεές ἐστι τοῦ ἀγαθύνοντος (ἀγαθὸν γὰρ τῇ φύσει ἐστί, καθὼς ἡ γραφὴ μαρτυρεῖ)· καὶ ὅτι ἡ κτίσις ὁδηγεῖται παρὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα τὴν ὁδηγίαν χαρίζεται· ἡ κτίσις 144 M. ἡγεμονεύεται, τὸ δὲ πνεῦμα ἡγεμονεύει· ἡ κτίσις παρακαλεῖται, τὸ δὲ πνεῦμα παρακαλεῖ· ἡ κτίσις δουλεύει, τὸ δὲ πνεῦμα ἐλευθεροῖ· ἡ κτίσις σοφίζεται, τὸ δὲ πνεῦμα τὴν τῆς σοφίας δίδωσι χάριν· ἡ κτίσις μεταλαμβάνει τῶν χαρισμάτων, τὸ δὲ πνεῦμα κατ᾽ἐξουσίαν χαρίζεται. Πάντα γὰρ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. καὶ μυρίας ἄλλας ἐκ τῶν γραφῶν ἔστιν ἀποδείξεις εὑρεῖν, ὅτι πάντα τὰ ὑψηλὰ καὶ θεοπρεπῆ ὀνόματα, ὅσα τῷ πατρὶ καὶ τῷ υἱῷ παρὰ τῆς γραφῆς ἐφαρμόζεται, ταῦτα καὶ περὶ τὸ ἅγιον θεωρεῖται πνεῦμα· ἡ ἀφθαρσία, ἡ μακαριότης, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δυνατόν, τὸ δίκαιον, ἡ ἁγιότης· πᾶν τίμιον ὄνομα οὕτως λέγεται ἐπὶ τοῦ ἁγίου πνεύματος, ὡς καὶ ἐπὶ τοῦ πατρὸς καὶ ἐπὶ τοῦ υἱοῦ λέγεται, πλὴν τούτων δι᾽ ὧν αἱ ὑποστάσεις τρανῶς τε καὶ ἀσυγχύτως ἀπ᾽ ἀλλήλων διαχωρίζονται, λέγω δὴ ὅτι οὔτε πατὴρ λέγεται τὸ πνεῦμα τὸ ἅγιον οὔτε υἱός· τὰ δὲ ἄλλα ὅσα ὁ πατὴρ καὶ ὁ υἱὸς ὀνομάζεται, ταῦτα καὶ τῷ ἁγίῳ πνεύματι παρὰ τῆς γραφῆς ἐφαρμόζεται. διὰ τοῦτο οὖν καταλαμβάνομεν ὅτι ἄνω τῆς κτίσεώς ἐστι τὸ πνεῦμα τὸ ἅγιον. οὐκοῦν ὅπου ὁ πατὴρ καὶ ὅπου ὁ υἱὸς νοεῖται, ἐκεῖ νοεῖται καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἄνω γὰρ τῆς

11 I Cor 12, 11

ΑΛS E J OMKP 2 διότι: καὶ ὅτι OMKP v (cf καὶ ὅτι (5)) 3 ἀπροσδεές OMKP v 6-7 verba ἡ — πνεῦμα om E 7-8 παρακαλεῖται: παρακαλεῖ E 8 verba τὸ — παρακαλεῖ om ΑΛ παρακαλεῖ: παρακαλεῖται E 9-10 τὴν ante τῆς om, ante χάριν add ΑΛS E J 17 ἀφθορία OMKP v 18 ἁγιότης: ἀγαθότης ΑΛS E J 21 δή: δὲ OMKP v 23 ὁ ante πατὴρ et ante υἱὸς om E 26 ὁ ante πατὴρ et ante υἱὸς om OMKP v 27 ἐκεῖ νοεῖται om ΑΛS

κτίσεως καὶ ὁ πατήρ καὶ ὁ υἱός, ὅπερ καὶ τῷ ἁγίῳ πνεύματι ἀκολουθία τοῦ λόγου προσεμαρτύρησεν. ὁ τοίνυν ὑπερτιθεὶς τῆς κτίσεως τὸ πνεῦμα τὸ ἅγιον ἀκολούθως τὸν ὀρθόν τε καὶ ὑγιῆ παρεδέξατο λόγον· μίαν γὰρ ὁμολογήσει τὴν ἄκτιστον φύσιν, τὴν ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ θεωρουμένην.

Ἐπεὶ δὲ εἰς ἀπόδειξιν, ὡς οἴονται, τοῦ κτιστὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον τὴν τοῦ προφήτου φωνὴν ἡμῖν προφέρουσι τὴν λέγουσαν ὅτι Ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, τοῦτο προσήκει νοῆσαι, ὅτι ἄλλο κτίζεσθαι πνεῦμα ἐν τῇ στερεότητι τῆς βροντῆς ὁ προφήτης λέγει καὶ οὐχὶ τὸ ἅγιον πνεῦμα· βροντὴν γὰρ ὁ μυστικὸς λόγος τὸ εὐαγγέλιον ὀνομάζει. ἐν οἷς οὖν γίνεται βεβαία καὶ ἀμετάθετος ἡ εἰς τὸ εὐαγγέλιον πίστις, οὗτοι διὰ τῆς πίστεως μεταβαίνουσιν ἀπὸ τοῦ εἶναι σάρκες εἰς τὸ γίνεσθαι πνεῦμα, καθὼς λέγει ὁ κύριος ὅτι Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. θεὸς οὖν ἐστιν
145 M. ὁ διὰ τοῦ στερροποιεῖν τὴν εὐαγγελικὴν βροντὴν τοῖς πιστεύουσι πνεῦμα ποιῶν τὸν πιστεύοντα, ὁ δὲ ἐκ τοῦ πνεύματος γεννηθεὶς καὶ πνεῦμα διὰ τῆς τοιαύτης βροντῆς γενόμενος ἀπαγγέλλει τὸν Χριστὸν καθὼς ὁ ἀπόστολος λέγει ὅτι Οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν Χριστόν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

9 Amos 4, 3 17 Joh 3, 6 22 I Cor 12, 3

ΑΛS E J OMKP 1 καὶ post κτίσεως om OMKP v, lacuna in Λ ὁ ante υἱός om v 5 ἁγίῳ πνεύματι ΑΛS E J 7 τοῦ om ΑΛS 9 ὅτι om OMKP v 10 ἀνθρώπους: οὐρανούς ΑΛ 12 post λέγει expl M 16 γενέσθαι ΑΛS EJ 17 τὸ δὲ: καὶ τὸ OKP v (cf De virg VIII 1 p 304, 24 (Jaeger)) 18 verba θεὸς — ἐστιν om ΑΛS ἐστιν om K 19 στερεοποιεῖν OP v βροντὴν: φωνὴν OKP v 23 Χριστόν om OKP

ADVERSUS ARIUM ET SABELLIUM
DE PATRE ET FILIO

CONSPECTUS SIGLORUM

(Adversus Arium et Sabellium)

S codex Vaticanus gr. 1907 chartaceus saec. XII (XIII)

D codex Musei Britannici Burneianus membranaceus saec. XIII, qui descriptus est de codice Vaticano gr. 1907 (citatur, ubi differt ab S)

v textus vulgatus editionis Parisinae (1638) et Mignei

[ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ]
ΚΑΤΑ ΑΡΕΙΟΥ ΚΑΙ ΣΑΒΕΛΛΙΟΥ

1281 M. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, ἀρτίως ὁ ψαλμῳδὸς ἔλεγεν. τοῦτον τὸν ἀγαθὸν λόγον τοῦ θεοῦ οἱ μὲν κατὰ Ἄρειον καὶ Ἀχίλλιον τὴν ἀσεβεστάτην φωνὴν προϊέμενοι ἐτόλμησαν κτίσμα καὶ ποίημα διακηρύξαι καὶ πολλοὺς τῇ ἑαυτῶν ἐφείλκυσαν πλάνῃ· οἱ δὲ κατὰ Σαβέλλιον τἀναντία τούτων φρονοῦντες ἀναιρεῖν μὲν πειρῶνται τὴν ὑπόστασιν τοῦ υἱοῦ, αὐτὸν δὲ τὸν πατέρα ἕνα ὄντα δυσὶν ὀνόμασι γεραίρειν οἰόμενοι υἱοπάτορα προσαγορεύουσιν. αἱ δ᾽ ἑκάτεραι δόξαι αὗται ὥσπερ παγίδες δύο τέθεινται ὑπὸ τῶν προηγορευμένων· δίεισι δὲ μέση τις ὁδὸς στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωὴν κατὰ τὸ εὐαγγέλιον. ταύτης οἱ πολλοὶ τῶν ἀνθρώπων ἐκκλίνοντες τῆς ἑτέρας θήραμα γίνονται· σὺ δέ μοι δοκεῖς δεδοικέναι τὰς ἑκατέρων ἐμπτώσεις καὶ αὐτὴν ἀποφεύγειν τὴν τῆς ἀληθείας ὁδὸν οἰόμενος μὴ δεῖν περὶ θεοῦ λόγον προχειρίζεσθαι. ὅρα τοίνυν μὴ τὴν τῶν δυεῖν πλάνην εὐλαβούμενος ἀσεβείας τιμωρίαν ὀφλήσῃς. αὐτὸς ὁ σωτὴρ πρὸ τῆς ἀληθοῦς ὁδοῦ ἑστηκὼς κέκραγε λέγων· Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια· μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερά, ὅπως μηδετέρᾳ αὐτῶν προστύχῃς. καὶ πάλιν· Ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων· ὁ μὴ εἰσιὼν δι᾽ ἐμοῦ, ἀλλὰ ἀλλαχόθεν ἀναβαίνων κλέπτης ἐστὶ καὶ λῃστής, ὃς καὶ ὑπὸ παγίδος ἁλοὺς ἀπολεῖται. ἀκουέτωσαν τοίνυν οἱ πρὸς τὴν τῶν ἑκατέρων πλάνην ἐπιτρέψαντες τὸν νοῦν, ὡς κατὰ φύσιν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς

1 Ps 44, 2 3 Achillius, Arii sectator, diaconus Alexandrinus fuit (cf Socr hist I 6 et Theodoret hist I 4) 11 cf Matth 7, 14 18 Joh 14, 6 20 Joh 10, 7

S D v Tit κατὰ ἀρείου καὶ σαβελλίου S D v 8 γεραίροντα v 9 δὲ v 13 σὺ δὲ corr ex οὐδὲ S 14 τῆς om v 16 τὴν . . . πλάνην corr Jaeger: τῇ . . . πλάνῃ libri v δυοῖν v 17 ὀφλήσεις v

Χριστὸς υἱὸς θεοῦ ἔστι τε καὶ προσαγορεύεται καὶ οὐ 1284 M. ποίημα ὢν κατὰ χρῆσιν ὀνομάζεται ὥσπερ ἡμεῖς υἱὸς καὶ ὅτι οὐκ ἔχων ἀρχήν, ἀλλὰ ἀΐδιος· διὰ τοῦτο καὶ ἐν ἀτελευτήτοις αἰῶσι κατ᾽ ἰδίαν ὑπόστασιν συμβασιλεύσει τῷ πατρί.

᾿Αλλ᾽ ἴσως εἴποι τις ἄν· πᾶν τὸ ἄναρχον καὶ ἀγέννητον ἂν εἴη· πῶς ὁ υἱὸς εἰκότως ἂν προσαγορεύοιτο ἄναρχος, οὗ καὶ τοὔνομα ἔμφασιν ἀρχῆς ἔχει; υἱὸς γὰρ ἐκ τοῦ γεγεννῆσθαι ὠνόμασται. γέννησις δὲ ὅτι ἀρχῇ ὑποπέπτωκεν, οὐκ ἄν τις ἀνήναιτο· εἰ οὖν υἱὸς τυγχάνει, δηλοῦται ἡμῖν ἐκ τῆς γεννήσεως ἀρχὴν εἰληφώς. ἴσως δὲ καὶ τέλος ἕξει, εἴποι τις ἂν κατὰ τὸν φιλόσοφον λόγον· καὶ ὁ ἀπόστολος δέ φησιν ὑποταγήσεσθαι αὐτὸν τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα καὶ παραδώσειν αὐτὸν τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ, ὡς ὑπειλῆφθαι αὐτὸν οὐκ ὄντα πρὸ τοῦ γεννᾶσθαι πάλιν εἰς τὸ μὴ εἶναι χωρήσειν. ᾿Ανάβηθί μοι ἐπὶ τῆς ἀσφαλοῦς πίστεως, μὴ συναρπασθῇς ὥσπερ βιαίᾳ πνοῇ τῇ τῶν τοιούτων λογισμῶν ἀπάτῃ, ὡς χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος, ἐκ τῆς στενῆς καὶ εὐθείας ὁδοῦ ἐπὶ βάραθρα τῆς ἀπωλείας. εἰ γὰρ ὁ πατὴρ τῶν ὅλων ἀγέννητος καὶ ἀΐδιος, σοφός τε καὶ δυνατός, ὁ δ᾽ ἀπόστολος τὴν εἰς αὐτὸν πίστιν εὐαγγελιζόμενος διακηρύττει πᾶσι Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν, πῶς [ἂν] τολμῶσιν ὑπὸ χρόνον ἄγειν αὐτοῦ τὴν γέννησιν καὶ οὐκ ἀΐδιον οὐδὲ ἄναρχον ὑπολαμβάνειν; εἰ γὰρ κατὰ τήν τινων ὑπόληψιν ὑπὸ χρόνου μοῖραν πέπτωκεν ἡ τοῦ σωτῆρος ἡμῶν γέννησις, ἠτίμασται ἔτι οὐ μόνον ὁ υἱὸς ἀλλὰ καὶ ὁ πατὴρ κατὰ τὴν τοῦ υἱοῦ φωνήν· Οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα· ῾Ο μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα—, ὁ μὲν ὡς οὐκ ὢν πρὸ τοῦ γενέσθαι, ὁ δὲ ὡς μὴ ἔχων δύναμιν καὶ σοφίαν πρὸ τοῦ εἶναι τὸν υἱόν. ἀκολούθως δ᾽ ἂν ὑπολαμβάνοιεν οἱ τοιοῦτοι μηδὲ θεὸν εἶναι τὸν πατέρα ποτὲ πρὶν γενέσεως τοῦ υἱοῦ·

11 I Cor 15, 24   20 I Cor 1, 24   26 Joh 8, 19; 5, 23

S D v 7 γεγενῆσθαι v   8 γένεσις S D v, correxi   ante ἀρχῇ lacuna duarum litterarum erasarum S: ὕπ᾽ (sic!) D v   9 ἀνήναιτο v   21 ἂν secl Jaeger   27 et 31 ὁ correxi: ὡς S, ὃς (supra) D v   27 ὡς om S   30 γενέσθαι v

πῶς γὰρ ἂν θεός, εἰ μὴ δύναμιν καὶ σοφίαν ἐκέκτητο; εἰ δὲ ἀεὶ ὢν θεὸς ὑπὸ τῶν θείων ἡμῖν γραφῶν τεθέσπισται, ἀεὶ ἄρα σοφίαν καὶ δύναμιν, τουτέστι τὸν Χριστόν, ἔχων μεθ' ἑαυτοῦ πιστευτέος.

Μέμνημαι δὲ ὑποσχόμενος ἔμπροσθεν ὥσπερ δι' ἐσόπτρου δείξειν ὑμῖν τὴν εἰκόνα τῶν περὶ τὸν πατέρα καὶ τὸν υἱόν, ἐπείπερ ἀνθρωπίνῳ λόγῳ τὰ κατὰ τὴν θείαν φύσιν οὐχ ὑποτέτακται. ὁπότε γὰρ αὐτὸς ὁ θεὸς † οὐ κατὰ τὴν ἰδίαν τοῦ μεγέθους δύναμιν διείλεκται ἡμῖν, ἀλλὰ συμμετρεῖ ταῖς ἀνθρωπίναις ἀκοαῖς τὴν ἑαυτοῦ φωνήν, ὅπως οἷοί τε ὦμεν ταῖς ἀκοαῖς τὴν θείαν φωνὴν ὑποδέξασθαι. καὶ γάρ τοι καὶ τὸ ἀνύποιστον καὶ ἀπερίληπτον μέγεθος αὐτοῦ συμμετρεῖ ταῖς τῶν ἀνθρώπων ὄψεσι καὶ θεὸς ὢν ἄνθρωπος πέφηνε· ἐκένωσε γὰρ ἑαυτὸν μορφὴν δούλου λαβών, ἵνα δυνηθῶμεν οἱ ἄνθρωποι θεάσασθαι θεόν. ὥσπερ οὖν πεπείσμεθα ὅτι οὐκ ὢν ἄνθρωπος πέφηνε μὲν ἄνθρωπος, κατὰ φύσιν δὲ θεὸς ἦν τε καὶ ἔστι τὸ ἀπερίληπτον μέγεθος αὐτοῦ σώματι περιγράψας καὶ δι' ἑαυτοῦ ὥσπερ δι' ἐσόπτρου τὸ ὅλον ἡμῖν
1285 M. μέγεθος τοῦ θεοῦ παραφήνας, ἵν' ὥσπερ διόπτρᾳ τούτῳ χρησάμενοι καὶ τοῦ πατρὸς θεαταὶ γενώμεθα· εἰκὼν γὰρ τοῦ ἀοράτου θεοῦ κατὰ τὸν ἀπόστολον τυγχάνων εἴρηκεν· Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, οὕτω καὶ διὰ τῶν ἐν ταῖς γραφαῖς κατὰ τὸ μέτρον τῶν ἀκοῶν ἡμῶν εἰρημένων, μὴ ἁρμοζόντων δὲ πολλαχῶς τῇ θεότητι δι' ἀσθένειαν λόγου ἀναλόγως θεωροῦμεν αὐτὸν τῇ διανοίᾳ· ὥσπερ γὰρ θεὸς σώματι περίγραπτος ἡμῖν ὦπται διὰ τὰς ὄψεις, οὕτως καὶ ὁ λόγος μικρότερος ἢ κατὰ θεὸν κεκήρυκται διὰ τὰς ἀκοάς.

Δέδεικται δέ, ὥσπερ προέφημεν, δι' αὐτῆς τῆς γραφῆς ὡς ἀνθρώπινος λόγος θεόν τε καὶ τὰ κατ' αὐτὸν οὐκ ἂν ἐνδέξαιτο. ἐπειδὴ γὰρ οὐχ ὑπολέλειπτο μέρος λόγου τὸ μηνύον τὴν ἀϊδιότητα τοῦ υἱοῦ, τῇ προθέσει ὥσπερ αἰνίγματι

14 Phil 2, 7 20 Col 1, 15 22 Joh 14, 9

S D v 8 lacunam statui atque sic fere explere temptavi <βούλοιτο φανερῶσαι ἑαυτὸν τοῖς ἀνθρώποις> 19 πεφήνας v 28 διὰ ταύτης libri, correxi

σημαίνει σύγχρονον εἶναι τῷ πατρὶ ἡ γραφὴ λέγουσα· Πρὸ ἑωσφόρου ἐγέννησά σε· καὶ Πρὸ πάντων βουνῶν γεννᾷ με καὶ ἑκάστου δημιουργήματος. τοῦτο τὸ μέρος τοῦ λόγου προτιθεῖσα ἡ γραφὴ ἄναρχον αὐτὸν ἀποφαίνει· τὸ γὰρ προϋπερβατικὸν πάντων ὂν καὶ μάλιστα ὅτε πρὸ τῶν αἰώνων λέγει εἰς τὸ ἀΐδιον καὶ ἄναρχον τρέπει ἡμῶν τὸν νοῦν. πῶς οὖν τῷ πατρὶ ἀεὶ συγκαθεζόμενος τὸ υἱὸς εἶναι καὶ γεγεννῆσθαι ἐπιτέτραπται, εἰκόνα σοι τούτων προτείνω, ἐπείπερ τῶν κατὰ φύσιν οὐ καθικνεῖται ὁ λόγος, τὴν ἀκτῖνα ὑπὸ τοῦ ἡλίου. πῶς οὐκ ἂν φήσειας τετέχθαι καὶ τὸ φῶς ὑπὸ τοῦ λύχνου; ἀλλ' ὥσπερ οὐ πρότερον ὁ ἥλιος, ἔπειτα ἡ ἀκτίς, ἀλλ' ἅμα τῷ εἶναι ἢ γεγονέναι τὸν ἥλιον ἔστι τε καὶ γέγονεν ἡ ἀκτὶς καὶ ἅμα τῷ ὑπάρξαι τὸν λύχνον ὑπῆρξε καὶ τὸ φῶς καὶ τὸ γεννώμενον ὑπὸ τοῦ λύχνου οὐ μετά τινα χρόνον, ἀλλὰ σὺν αὐτῷ γεννώμενον φαίνεται, οὕτως οὐ πρῶτον θεός, μετέπειτα δὲ ἡ σοφία αὐτοῦ, ἀλλ' ἅμα τῷ εἶναι τὸν θεὸν τῶν ὅλων (ἦν δὲ πάντοτε) ἦν ἄρα καὶ ἡ σοφία, τουτέστιν ὁ Χριστός· καίτοι γεννωμένη ὑπὸ τοῦ θεοῦ καὶ γέννημα εἰκότως προσαγορεύεται ἡ σοφία τοῦ διαδεικνυμένου αὐτήν. τὸ δὲ Πρὸ πάντων βουνῶν γεννᾷ με ἐμφαίνει πάντοτε γεννώμενον τοῖς ἀνθρώποις ὑπὸ τοῦ πατρὸς τὸν σωτῆρα· καὶ τὸ Σήμερον γεγέννηκά σε καίτοι προγεγεννημένον καὶ ἀεὶ συνόντα ὑπὸ χρόνου μέρει τὸ σήμερον ἄγουσα ἡ γραφὴ σημαίνει ἀεὶ τοῖς καθεξῆς προϊοῦσιν αὐτὸν συγγεννᾶσθαι, ἄχρις οὗ τὸ σήμερον καλεῖται. εἴ ποτε δὲ τὸ σήμερον τοῦ κόσμου τούτου συμπεριορισθείη τοῖς τέλεσιν, οὐκέτι γεννᾶται, ἀλλ' ἅπαξ τοῖς ἅπασι γεγεννημένος καὶ πάντων κριτὴς καὶ δικαστὴς καθεσθεὶς ζώντων καὶ νεκρῶν εἰς αἰῶνα βασιλεύσει σὺν τῷ πατρί.

Ἵνα δὲ μὴ καὶ τὸ Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ

2 Ps 109, 3 Prov 8, 25 21 Ps 2, 7 30 Prov 8, 22 cf Ad Simpl 62, 16 sq; c Eunom I p 108, 28 sq; II p 8, 20 sq (Jaeg.)

S D v 2 post πάντων add τῶν v 7 ἀεὶ συγκαθεζόμενος Jaeger: συναεὶ . . . . ζόμενος S D, συναεὶ καθεζόμενος v 8 ἐπιγέγραπται S v, corr Jaeger 15 πρῶτος v 24 αὐτὸν correxi: αὐτῷ S v συγγεννᾶσθαι corr Jaeger: γεννᾶσθαι 25 τῷ κόσμῳ τούτῳ S v, correxi 25-26 συμπεριορισθείη Jaeger: συμπεριορισθῇ S v

εἰς ἔργα αὐτοῦ ἐμποιῇ λογισμοὺς τοῖς διεφθορόσι τὴν διάνοιαν, οὐδὲ τοῦτο παριτέον. οἱ γὰρ ἑρμηνεῖς βραχύ τι τῆς 1288 M. Ἑβραΐδος ἀκριβείας τῶν γραφῶν εἰς τὴν Ἑλληνίδα παρατραπέντες εἶπον μὲν ἔκτισέ με, εὕροις δ' ἂν ἐρευνήσας ἐποίησέ με. ὅμως δὲ καὶ τὸ ἔκτισέ με ἀκριβῶς νοούμενον οὐδὲν ἀπᾷδον τοῦ ἐποίησέ με δείκνυται. εἰ γὰρ κύριος ἔκτισέ με εἰρήκει μόνον, ζήτημα ἄν τισι καταλελοίπει· ἐπεὶ δὲ προσέθηκεν ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, σαφῶς ἂν νοοῖτο εἰρηκυῖα κύριος ἐποίησέ με ἐπιστατεῖν τῶν ἔργων αὐτοῦ καὶ ἀρχὴν τῶν ὁδῶν αὐτοῦ ἐνεχείρισέ μοι. πότε γὰρ ἔσχεν ἀρχὴν ὁδῶν αὐτοῦ ὁ πατὴρ ἢ πότε οὐκ ἦν ἐνεργὴς ἢ παρὰ τίνος τὸ δύνασθαι καὶ τὸ ἐνεργεῖν εἴληφε; τὸ γὰρ μὴ ἀεὶ τὰ πάντα ἔχειν παρ' ἑαυτῷ ἐμφαντικόν ἐστι τοῦ παρ' ἄλλου τινὸς εἰληφέναι, ὡς ἕτερόν τινα θεὸν πρεσβύτερον αὐτοῦ νοεῖσθαι. Τίς δὲ προέδωκε καὶ ἀνταποδοθήσεται αὐτῷ; φησὶν ἡ γραφή. εἰ δὲ παρ' αὐτοῦ τὰ πάντα, οὐδέποτε ἄρα ἀρχὴ ὁδῶν αὐτοῦ καὶ ἔργων αὐτοῦ εὑρεθήσεται, ἀλλ' ἀεὶ ἐνεργής. εἰ δὲ πάντα διὰ τοῦ υἱοῦ γέγονε καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἀεὶ ἄρα τὴν ἐργαζομένην σοφίαν παρ' ἑαυτῷ ἔχειν ἀναφανδὸν δείκνυται. εἰ δὲ ἀεὶ ἐργάζεται ὁ πατήρ, χωρὶς δὲ τοῦ υἱοῦ οὐδὲν εἴργασται, μάτην τὸ ἐκτίσθαι ὑπειλήφασιν ὕστερόν ποτε δεδημιουργῆσθαι, ἵνα ἐργάζηται. ἀλλὰ τὸ Ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ σημαίνει ὅτι ἐνεχείρισέ μοι τὰς ὁδοὺς αὐτοῦ, ἵν' ὦσιν ὑπὸ τὴν ἐμὴν ἀρχήν· ἀρχὴν γὰρ οὐ χρονικὴν λέγει, ἀλλὰ τὴν κρατητικήν. καὶ γὰρ καὶ οἱ ἀπόστολοί φασιν, ὅτι καὶ κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν. εἰ δὲ τὸ ἐποίησε ποίημα καὶ κτίσμα ὀνομάζοιτο, δύο ἂν εἶέν τινες οὓς ἐποίησεν, ἕτερον μὲν κύριον, ἕτερον δὲ Χριστόν. Χριστὸς δὲ ὅτι βασιλεὺς προσαγορεύεται, οὐδενὶ τοῦτο ἄγνωστον· ἀλλὰ τὸ ἐποίησε σημαίνει δύο ἀρχὰς ἐγκεχειρίσθαι αὐτῷ παρὰ τοῦ πατρός, τὴν μὲν κυριακήν, τὴν δὲ βασιλικήν, μᾶλλον δὲ μίαν ἀρχὴν

15 Rom 11, 35 17 Joh 1, 3 26 Act 2, 36

S D v 3-4 περιτραπέντες v 7 ἄν om, καταλέλοιπεν libri, corr Jaeger 9 εἰρηκυῖα sc ἡ γραφή (cf p 74, 2 et 23) ἐπιτάττειν libri, correxi 21 μάτην S: μήπως v

δυσὶ προσηγορίαις γεραιρομένην [πλείοσιν]. ἑκάτεροι τοίνυν πεπείσθωσαν οἱ ταῖς ἑκατέραις ἐνειλημμένοι πλάναις, ὡς ἀεὶ σὺν τῷ πατρὶ ὁ υἱὸς γεννητὸς ἅμα καὶ ἄναρχός ἐστιν· ἄναρχος μὲν τῷ ἀεὶ συνεῖναι τῷ πατρί, γεννητὸς δὲ τῷ τὸν πατέρα <αἴτιον> ἐσχηκέναι τοῦ εἶναι· ὡς ἔφημεν ἐπὶ τοῦ λύχνου εἰπόντες ὅτι αἴτιος μὲν αὐτὸς τοῦ φέγγους, οὐ μέντοι πρότερος τοῦ φέγγους, ἀλλ᾽ ὁμόχρονος τυγχάνει· οὕτως καὶ εἰς τὸν αἰῶνα ἔσται καὶ οὐδέποτε παύσεται βασιλεύων, ἐπειδήπερ οὐδὲ ἤρξατο, ἀλλ᾽ ἀεὶ συνηργηκὼς τῷ πατρὶ ἑαυτὸν συνεμφαίνει διὰ τοῦ εἰρηκέναι· Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι· ἐπιζητεῖ δὲ τὸ ἕως ἄρτι τὸ ἀφ᾽ οὗ· ἐπειδὴ δὲ τὸ ἀφ᾽ οὗ ἐν χρόνῳ τυγχάνει, παρεὶς τὸ ἀφ᾽ οὗ τὸ ἕως ἄρτι μόνον εἰπὼν ἐνέφηνεν ἀεὶ τὰ πάντα αὐτῷ συνειργάσθαι· ἐργάζεται γὰρ ἕως ἄρτι φύων, ζωογονῶν, αὔξων, τὰ πάντα ἡνιοχῶν, καὶ οὐδέποτε παύσεται· οὐ γὰρ ἁρμόσει θεῷ τὸ ἀργεῖν οὐδ᾽ ἀποκαμεῖται ἐργαζόμενος, ἵνα παύσηται.

1289 M. Οἶμαι μὲν οὖν τοὺς ἀρειοπλανεῖς ὥσπερ συνηγορίᾳ κεχρῆσθαι τῇ εὐαγγελικῇ φωνῇ λεγούσῃ Ὁ πέμψας με μείζων μού ἐστιν ἀφ᾽ οὗ κτίσμα καὶ ποίημα αὐτὸν ὑπειλήφασι, καὶ τὸ ἀντειπεῖν τῷ προσαγορεύσαντι διδάσκαλον ἀγαθὸν Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεὸς ὑπόνοιαν ἐμπεποιηκέναι αὐτοῖς ἄνθρωπον ὄντα καταχρηστικὴν προσηγορίαν ἐσχηκέναι τὸ υἱὸς καὶ τὸ Οὐδεὶς οἶδε τὴν συντελεστικὴν ἡμέραν καὶ τὴν ὥραν οὐδ᾽ οἱ ἄγγελοι τῶν οὐρανῶν οὐδὲ ὁ υἱὸς ἐν τοῖς κατὰ Μάρκον εἰρημένοις, εἰ μὴ ὁ πατὴρ μόνος, ἀλλότριον τῆς πατρικῆς οὐσίας γεγονέναι τὸν υἱὸν ὑπόνοιαν αὐτοῖς ἐμποιεῖν οἴομαι. οἱ δὲ κατὰ Σαβέλλιον Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν καὶ Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν πατέρα

10 Joh 5, 17 19 Joh 14, 28 22 Marc 10, 18 24 Marc 13, 32 28 Joh 10, 30 29 Joh 14, 9

(S) **D v** 1 πλείοσιν seclusi, ἢ πλ. v 5 αἴτιον add Jaeger 6-13 (ἄρτι) post εἰπόντες in S pars folii deleta est, sed verba ex D recuperari possunt 7 πρότερον v 12 δὲ post ἐπειδὴ om v 15 τὰ om v 24 τὸ υἱὸς SD: τὸν υἱόν corr v

καὶ τὸ Ὅτε παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ οὐ μετὰ ἀκριβοῦς κρίσεως ἀνεγνωκότες εἰς τὴν μεγίστην τῆς ἀσεβείας ἐκπεπτώκασι πλάνην, οἰόμενοι διὰ μὲν λειποταξίαν ἀνθρωπίνην προεληλυθέναι τὸν υἱὸν ἐκ τοῦ πατρὸς προσκαίρως, αὖθις δὲ μετὰ τὴν διόρθωσιν τῶν ἀνθρωπίνων πλημμελημάτων ἀναλελυκότα ἐνδῦναί τε καὶ ἀναμεμίχθαι τῷ πατρί. οὐκ ἀνέγνωκας, ὦ Σαβελλιόφρον, καὶ τόδε τὸ χωρίον τῆς ἀποστολικῆς γραφῆς, ὃ ἀντισταίη σου τῇ δοκήσει; φησὶ γὰρ μεθ' ἕτερα· Κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν ἐκ νεκρῶν καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. οὐδ' ἡ εὐαγγελικὴ φωνή σε πείθει οὐ πρόσκαιρον εἶναι τὸν υἱόν, ἀλλ' ὅτι καὶ ἡ ἐν τῷ μέλλοντι αἰῶνι κατὰ πάντων δίκη ἐγκεχείρισται τῷ υἱῷ; Ὁ γὰρ πατήρ, φησί, κρίνει οὐδένα· τὴν δὲ κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα· καὶ ἑτέρωθί που ὁ ἀπόστολος Ἐν τῇ ἀποκαλύψει τοῦ κυρίου Ἰησοῦ, φησίν, ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ ἐν φλογὶ πυρὸς διδοὺς ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὅρα πῶς οἱ μὴ ὑπακούοντες δίκην τίσουσι, φησίν, ὄλεθρον αἰώνιον, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ. τίσουσι δὲ τῷ υἱῷ, ὃν σὺ μηκέτι εἶναι ὑπείληφας.

Εἰ δὲ βούλει γνῶναι ὅ τί ποτέ ἐστι τὸ Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ, οὐκ ἀποκρυπτέον σοι, εἰ
1292 M. καὶ δυσεπίδεκτος τῆς ἀληθείας τετύχηκας. καί μοι δοκεῖ ἀνθεστάναι τῷ παρὰ τοῦ Χριστοῦ προστάγματι Μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ἀλλὰ θεὸν μιμησάμενος ἐλπίδων μεθέξω καλῶν οὐδὲ τοῖς δυσσεβέσιν

1 I Cor 15, 24 9 Eph 1, 19 16 Joh 5, 22 19 II Thess 1, 7 23 II Thess 1, 8 26 I Cor 15, 24 29 Matth 7, 6

S D v 2 μετ' ἀκριβείας v 29 ἀνθιστάναι libri, correxi βάλετε libri v, correxi

ST. AUGUSTINE'S COLLEGE LIBRARY, CANTERBURY

ἀποκρύψω τὴν ἀλήθειαν· βρέχει γὰρ ὁμοίως καὶ τὸ φῶς τῆς ἡμέρας ἴσον ἐκτέταται δικαίοις καὶ ἀδίκοις. εἶθ' οὕτω φιλανθρωπούμενος οὐ πεύσῃ τὴν ἀλήθειαν; οὐχ ὑφέξεις τὰς τοῦ νοῦ ἀκοάς, ἵνα πεισθῇς μηδ' ὁτιοῦν πρὸς ἕτερόν τι τῶν ἐν ταῖς γραφαῖς εἰρημένων ἐναντίωσιν εἶναι, ἀλλὰ συνῳδὸν καὶ σύμφωνον τὸ πᾶν τῷ παντὶ τυγχάνειν; διόπερ οὐ νοητέον κατὰ τὴν σὴν ὑπόληψιν τὸ Τότε ὑποταγήσεται αὐτὸς τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα· καὶ Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ. εἰ γὰρ κατὰ πάντα ὡμοίωτο τῇ ἀνθρωπότητι καὶ συνεπάθησε κατὰ τὸν προφήτην· Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται καὶ Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν, ἐπεὶ καὶ τὴν δεκτικὴν τούτων σάρκα περιβέβληται· καὶ Ὑπὲρ ἡμῶν, φησίν, ἁμαρτίαν ἐποίησεν, οὐ πεποιηκὼς ἀλλ' ὡς πεποιηκώς, ἵν' ἡμεῖς δικαιωθῶμεν· καὶ Γενόμενος ὑπὲρ ἡμῶν κατάρα, ἵνα τῆς κατάρας ἡμᾶς ἐξαγοράσῃ, καὶ ἐπικατάρατος ὠνόμασται τῇ συμπαθείᾳ συνωνυμῆσαι ἡμῖν ἑλόμενος· εἰ ἐν πᾶσι τούτοις γενόμενος ὡμοιώθη τῇ ἀνθρωπότητι, αὐτὴν τὴν μορφὴν τοῦ δούλου ἀναλαβὼν ὡς αὐτὸς ἠνομηκὼς ὑπὲρ τῆς ἀνθρωπότητος τὸ ἴδιον πρόσωπον προβαλλόμενος, ἐνέτρεπε τὸν πατέρα πρὸς ἔλεον ἐπικαλῶν. καὶ ὡς οὐχ ὑποτέτακτο τῷ υἱῷ πᾶσα ἡ ἀνθρωπότης, καὶ αὐτὸς ὡς μὴ ὑποτεταγμένος ἐδόκει τε καὶ διείληπτο τὴν ἀνυποταξίαν τοῦ λαοῦ ἐν ὄψεσι τοῦ πατρὸς ἐπιγραφόμενος· εἰ δέ ποτε πάνθ' ὑποταχθείη τῷ υἱῷ (νῦν γὰρ οὐδέπω ὁρῶμεν πάνθ' ὑποτεταγμένα αὐτῷ), ἐρεῖ· Πάνθ' ὑποτέτακταί μοι. πάντων δὲ αὐτῷ ὑποταγέντων τότε αὐτὸς φανήσεται ὑποτεταγμένος τῷ ὑποτεταχότι αὐτῷ τὰ πάντα· εἰ γὰρ πάντες ἡμεῖς εἴημεν Χριστοῦ, καὶ Χριστὸς θεοῦ ἂν εἴη τε καὶ

1 Matth 5, 45   7 I Cor 15, 28   8 I Cor 15, 24   10 Is 53, 4   11 Matth 8, 17   14 II Cor 5, 21   15 Gal 3, 13   26 I Cor 15, 27

S D v   1 ἀποκρύψω restitui: ἀποκρύψων (in ligatura) S, ἀποκρύψειν D, ἀποκρύψας v   21 ἔλεος v   23 ὡς correxi: ὧν libri μή: μὲν v   24 ὄψει v   29 εἴη correxi: ᾖ libri

ὑποταχθείη. εἰ δ' ἡμεῖς μήπω Χριστοῦ, οὐδέπω καὶ Χριστὸς θεοῦ, ὁ δι' ἡμᾶς ὀδυνώμενος. ὅταν οὖν πάντες Χριστοῦ γενώμεθα, τότε ἔσται καὶ Χριστὸς θεοῦ δι' ἑαυτοῦ τοὺς πάντας ὑποτάττων τῷ πατρὶ οὓς πρότερον παρ' αὐτοῦ εἰλήφει, Ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν. ἐπεὶ δὲ δοκεῖ πως μὴ ὑποτετάχθαι τῷ πατρί, τῶν ἐγγεγυημένων ὑπ' αὐτοῦ καὶ ὧν τὴν εἰκόνα φέρει μηδέπω ὑποτεταγμένων αὐτῷ. ὁπότε δὲ ὑποταχθείη αὐτῷ τὰ πάντα, τότε φανήσεται παραδιδοὺς τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ. βασιλείαν δὲ νοητέον οὐ τὸ ἀξίωμα τῆς σκηπτουχίας· οὐδὲ γὰρ ἔτι δεῖται ἀξιώματος βασιλικοῦ ὁ πατήρ, ἵνα παραλάβῃ τοῦ υἱοῦ ὃ πρότερον ὡς εἰς χρῆσιν αὐτῷ συγκεχωρηκὼς ἐτύγχανε τοῦτο ἀνακαλούμενος. τοιοῦτο γὰρ αἰνίττεσθαί μοι δοκεῖς. ἔτι μὴν ἀσεβεῖς οὐ μόνον εἰς τὸν υἱὸν ἀναιρῶν αὐτοῦ τὴν ὑπόστασιν, ἀλλὰ καὶ εἰς τὸν πατέρα ἀποφαίνων αὐτὸν οὐκ ὄντα βασιλέα ποτὲ συγκεχωρηκότα τῷ υἱῷ τὴν βασιλείαν, εἶτα ἀποληψόμενον παρ' αὐτοῦ ὡς δεόμενον τοῦ ἀξιώματος. παραδώσει δὲ
1293 M. αὐτῷ οὐ τὸ ἀξίωμα, ὡς προέφημεν, τῆς βασιλείας, ἀλλὰ τοὺς βασιλευθέντας ὑπ' αὐτοῦ καὶ ὑποταγέντας αὐτῷ. ταύτην τὴν βασιλείαν προσενηνοχὼς καὶ παραδεδωκὼς ἐρεῖ· Τοῦτο βασίλειον, τοῦτο ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησίν μοι καὶ Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός· αὐτὸς γὰρ ἔδωκεν αὐτῷ ὑποτάξας αὐτῷ πάντα τὰ ἔθνη· Δώσω γάρ σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ἴσθι δὲ καὶ τὸ Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν μὴ ἀναιρεῖν τὴν ὑπόστασιν τοῦ υἱοῦ· ἓν γάρ εἰσι τὴν οὐσίαν, ἓν τὸ ἀξίωμα, ἕν εἰσι τὴν γνώμην, ἕν εἰσι τὴν φρόνησιν, οὐχ ἓν δὲ τὴν ὑπόστασιν. δειχθήσεται δὲ καὶ ἐκ τοῦ ἀποστόλου, ὅτι τὸ ἓν οὐκ ἔστι μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως, ὡς πολλάκις τάττεται· ὡς <γὰρ> ἐπὶ τοῦ φυτεύοντος καὶ τοῦ ποτίζοντος

5 I Cor 15, 28   20 I Petr 2, 9   22 Hebr 2, 13   23 Ps 2, 8   26 Joh 10, 30   29 I Cor 3, 8

S D v 6 ἐγγυημένων libri, correxi   13 μὲν v   19 ἀπ' v   31 γὰρ addidi

τὸ [δ'] ἐπιμεριζόμενον ὄνομα διαιρεῖ τὴν ὑπόστασιν, ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον, οὕτως τὸ ἓν οὐκ ἀναιρετικὸν τῆς ἑτέρας ὑποστάσεως ὑπάρχον νενοήσθω. μηδετέρου τοίνυν τούτων ἀπᾴδειν ἀλλήλοις ἀποδεδειγμένων, ἀλλὰ συμπεφωνηκότων πρὸς τὴν εὐθεῖαν πίστιν, πέπαυσο τὰ Σαβελλίου φρονῶν, ἔκκλινον ἀπὸ κακοφροσύνης, καὶ ποίησον ἀγαθὸν τῇ ἀληθείᾳ πειθόμενος.

Ἱκανά σοι καὶ ταῦτα μόνα πρὸς ἀπόδειξιν τοῦ φαῦλα φρονεῖν. ἴσθι μοι καὶ σὺ τὴν ἀρειομανῆ Ἀχιλλίου πίστιν δεδυστυχηκώς. τί ποτε καταλιπὼν τὴν εὐθεῖαν ὁδὸν κατὰ τῶν τῆς ἀτιμίας τοῦ υἱοῦ βαράθρων ἐλήλακας, ποίημα αὐτὸν καὶ ἀλλότριον τῆς τοῦ θεοῦ οὐσίας ὑποτοπήσας; οὐχ ἱκανά σοι πρὸς ἀπόδειξιν τοῦ γεγεννῆσθαι ἐκ τοῦ πατρὸς καὶ μόνα τὰ ὀνόματα, ὅτι σοφία καὶ δύναμις θεοῦ προσηγόρευται; σοφία καὶ δύναμις ὅτι ἀχειροποίητοι μὲν καὶ ἀκατασκεύαστοί εἰσιν, ἀρεταὶ δὲ ψυχῆς καὶ ὥσπερ ἀποφοραὶ νοῦ ὑπερριζωμένου τῇ τῆς σοφίας βλάστῃ, πάντως ἂν συνεπινεύσειας. εἰ δ' ἔκτισται καὶ κατεσκεύασται ἡ σοφία ἔν τινι χρόνῳ, ὡς ἔφης, ἡ παντὸς χρόνου καὶ δημιουργήματος πρεσβυτάτη, τουτέστιν ὁ υἱός, ὅρα μή μοι δοκοίης ἀπᾷδόν σου τῆς οἰήσεως ἀποφαίνειν τὸ Χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ἢ εἰ ταύτην ἐκτίθεσθαι φαίης, καὶ τοῦτο ἡμῖν ἀναφανδὸν δείξειν πεπείρασο, ὡς ἑτέρα τις ἂν εἴη σοφία ταύτης πρεσβυτέρα, δι' ἧς ἡ δευτέρα κατεσκεύασται. ἄνευ γὰρ σοφίας ἀδύνατον κατασκευασθῆναί τι. διὰ τοῦτο ἀΐδιος παρὰ τῷ πατρὶ ἡ σοφία καὶ πρωτότοκος πάσης κτίσεως, ἵνα δι' αὐτῆς τὰ πάντα κατασκευασθῇ. καὶ λόγος δὲ προσηγόρευται ὁ υἱός, ἵνα γεννητὸς ἀποδειχθῇ καὶ μὴ κτιστὸς ὑποληφθῇ· λόγος γὰρ τίκτεται ἀλλ' οὐ κτίζεται, διὰ στόματος μὲν προφερόμενος ἐκ καρδίας
1296 M. δὲ κινούμενος. ὁ πατὴρ μαρτυρεῖ μοι λέγων· Ἐξηρεύξατο ἡ

21 Joh 1, 3 30 Ps 44, 2

S D v 1 δ' seclusi 4 ἀπᾴδειν v: ἀπᾷδον S 9 τὴν ἀρ. Ἀχ. corr Jaeger (cf 71, 3): Ἀρειομανίτην Ἀχίλλιον S v 10 δεδυστ. corr Jaeger: δὲ δυστ. S v 16 εἰσίν correxi: οὖσαι libri 18 ἔν τινι Jaeger: ἐν τίνι libri 20-21 ἀποφαίνων v 25 ἀΐδιος om v 30 μοι ex με corr ut vid S, με D

καρδία μου λόγον ἀγαθόν· συνομολογεῖ καὶ ὁ υἱός· Ἐγὼ ἐκ στόματος ὑψίστου ἐξῆλθον· πῶς ἤνεγκέ μου ἡ διάνοια τὸ τηλικοῦτον ἄχθος τοῦ τολμήματος ποίημα αὐτὸν ὑπειληφυῖα;

Ἀκήκοας τῶν προειληφότων περὶ τοῦ υἱοῦ· ἄκουε δὴ καὶ τοῦ νῦν ἐπελθόντος, ὡς τὸ ἦν ἐν παρατατικῷ χρόνῳ κείμενον ἀϊδιότητος ἔχει τὴν σημασίαν· Ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀρχὴ δὲ θεοῦ ἀνθρωπίνῳ λόγῳ οὐ κατείληπται. διὰ τοῦτο δή, ὡς ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, ὃ δή ποτε μέρος λόγου τέθεικεν ἡ γραφή, τὸ ἐν ἀρχῇ, νόει μοι ἀρχὴν θεϊκὴν ἀΐδιον οὖσαν. ταὐτοῦ δέ ποθεν σημαντικὸν καὶ τὸ ἦν. τὸ δὲ ὁ λόγος τὴν ὁμοούσιον ὑπόστασιν πρὸς τὸν πατέρα δείκνυσιν· ἵνα δὲ μὴ δοκῶμεν τὸν υἱὸν εἶναί ποτε, ὅτε ἀφανὴς ἦν ἐν τῷ πατρὶ κρυπτόμενος, καὶ ἵνα μὴ προφορικὸν λόγον καὶ ἐνδιάθετον ὑπολαμβάνωμεν (τὸν γὰρ τοιοῦτον λόγον ἐν τινὶ εἶναι χρὴ ἐννοίᾳ ἢ ἐν γράμματι καθ᾽ ἑαυτὸν ὑπόστασιν οὐκ ἔχοντα), διὰ ταῦτα εἴρηκε καὶ ὁ Ἰωάννης Καὶ ὁ λόγος ἦν — οὐκ ἐν τῷ θεῷ, ἀλλὰ — πρὸς τὸν θεόν, ἰδίαν ὑπόστασιν ἐπιγράφων τῷ λόγῳ ἐκ πατρικῆς οὐσίας ὑφεστῶσαν. τὸν αὐτὸν τρόπον καὶ ἵνα μὴ νοοῖτο σοφία ἡ τεχνιτευτική, ἡ τὸ εἶναι ἔν τινι ἔχουσα ἢ ἐν ἀνδρὶ ἢ ἐν κατασκευάσματι, εἴρηκεν Ἦν πρὸς τὸν θεόν, ἵνα νοηθῇ θεὸς ἐκ θεοῦ ὑπάρχων. πρὸς δὲ καὶ τὴν προσηγορίαν εἴληχε· Καὶ θεὸς ἦν ὁ λόγος· θεὸς δὲ ὅτι ἀρχὴν οὐκ ἂν ἔχοι, ἐπεὶ οὐκ ἂν εἴη θεός· ὅπερ οὐ μόνον ἡμεῖς, ἀλλὰ καὶ φιλοσόφων παῖδες θεσπίζουσιν, ὧν οὐ προσῆκέ σε ἧττονα τὴν κατὰ θεὸν κεκτῆσθαι γνῶσιν.

Ἵνα δὲ πιστεύωμεν αὐτὸν ὑφεστάναι θεὸν αὐτὸν ὄντα ἐξ ἑαυτοῦ, ἐμόρφωσεν αὐτὸν ἀνθρωπίνως ὁ πατὴρ σαρκὶ αὐτὸν περιγράψας, ἵνα ἀνθρωπίναις ὄψεσιν ἐμφανίσῃ <τὸν> υἱόν. καὶ θεὸν ὄντα εἰδὼς ὑφεστάναι, μή μοι φαντασθῇς εὐτελέστερον ἢ μικρότερον τὸν υἱὸν τῷ εἰρηκέναι Ὁ πέμψας με πατὴρ μείζων μου ἐστίν. ἔδει γὰρ αὐτὸν ἐνανθρωποῦντα

6 Joh 1, 1 30 Joh 14, 28

S D v 14 τοιοῦτον S: τοῦτον v 15 ἐννοίᾳ v: ἐννόει D, in S legi non potest 28 ἀνθρωπίνης ὄψεως D, abbreviaturam in S falso interpretatus (cf p 82, 5) τὸν om libri, addidi

ταπεινόφροσι λόγοις ἐμφαίνειν τὸ ἑαυτοῦ μέγεθος. αὐτὸς εἴρηκεν· Ἐπαινείτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα. τί γάρ; οὐκ ἔδει ταπεινοφρονοῦντα ἥττονα τοῦ πατρὸς ἑαυτὸν ἀποδεικνύναι, τοῦ ἀπεριγράπτου καὶ τὰ πάντα πληροῦντος τὸν τέως σαρκὶ περιγραφόμενον καὶ ὄψεσιν ἀνθρωπίναις μετρούμενον; οὐ μὴν ἀλλὰ καὶ τὸ τὸν αἴτιον τοῦ εἶναι μείζονα ἑαυτοῦ ἀποκαλεῖν οὐκ ἀλλότριον ἀληθείας. εἰ μὴ γὰρ θεός, ποῦ ἡ σοφία; καὶ εἰ μὴ ὁ πατήρ, ποῦ ὁ υἱός; ὅρα δέ μοι πάντη καὶ πάντως τὸν υἱὸν ταπεινοφρονοῦντα καὶ τὸ θεϊκὸν μέγεθος 1297 M. ἅμα ἐνδεικνύμενον, πρῶτον ὅταν λέγῃ πρὸς τὸν νεανίαν ἀγαθὸν αὐτὸν προσαγορεύσαντα· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός. καὶ εἰκότως γε τοῦτο ἀπεφήνατο· Ὡς γὰρ ἄνθρωπός σοι πέφηνα, εἴποι ἄν, ὦ νεανία, σὺ δὲ ὡς ἕνα τῶν γραμματέων διδάσκαλόν με προσειπὼν προσέθηκας τὸ ἀγαθόν. οὐδεὶς δὲ ἀνθρώπων ἀγαθός, μόνῳ δὲ θεῷ οἰκειοῦται ἡ προσηγορία. μάτην ἄρα ὠνόμασας ἀγαθὸν τὸν τέως ἄνθρωπόν σοι πεφηνότα. οὕτω γοῦν ἀποφηνάμενος τὴν μὲν ταπεινοφροσύνην τῷ ἀνδρὶ ἐνεδείξατο εἰπών· Οὐδεὶς ἀγαθός, ὧν ὑπείληφας σύ· τὸ δὲ εἰ μὴ εἷς ὁ θεὸς προσθεὶς αὐτός τε καὶ ὁ πατὴρ ἓν ὤν, μυστικῶς ἄρα μετὰ ταπεινοφροσύνης τὴν ἀλήθειαν διεξεληλυθὼς συμμέτοχον <ἑαυτὸν> τῷ πατρὶ τῆς ἀγαθότητος ἀπεδείκνυε. τὸ οὖν Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν καὶ τὸ Ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ ἴσον ἀποδείκνυσι τῷ πατρί. δεῖ γὰρ εἶναι τέλειον ἐκ τοῦ τελείου πατρὸς τὸν υἱόν.

Ἀλλ' ἴσως καὶ τοῦτ' ἂν εἴποις· Εἰ ὁ πατὴρ τέλειος ὢν τὰ πάντα πληροῖ, ποῖος ὑπολείπεται <τόπος> τῷ υἱῷ τελείῳ ὄντι εἰς τὸ χωρῆσαι; ἀλλὰ ἀλλήλων φημὶ γεγονέναι δεκτικοὺς καὶ χωρητικούς· Ἐγὼ γάρ, φησίν, ἐν τῷ πατρὶ καὶ ὁ

2 Prov 27, 2 11 Marc 10, 18 22 Joh 10, 30 23 Joh 10, 38 29 Joh 10, 38

S D v 10 νεανίσκον v 14 ὡς v: evanuit in S, εἰ D 20 αὐτὸς δὲ καὶ ὁ πατὴρ ἕν εἰσιν libri: correxi ὁ ante πατὴρ om v 21 ἑαυτὸν addidi 26 εἴπῃς libri, correxi 27 ποῖον v τόπος addidi (cf p 83, 15)

πατὴρ ἐν ἐμοί ἐστιν· οἱ δὲ ἀλλήλους χωροῦντες ἴσοι ἂν εἶεν ἀλλήλοις τὸ μέγεθος. πῶς οὖν ἐν ἀλλήλοις γένοιντ' ἄν, πάντως ἀκοῦσαι προήρησαι· δεῖ γὰρ τὸ ἕτερον περιέχεσθαι ὑπὸ τοῦ ἑτέρου. τὸ γοῦν περιεχόμενον ἐν τῷ περιέχοντι· τὸ δὲ περιέχον οὐκ ἂν περιέχοιτο πάλιν ὑπὸ τοῦ περιεχομένου. μὴ οἴου τὸν θεὸν κένωμά τι ἔχειν ἐν ἑαυτῷ ᾧ ὑποδέδεκται τὸν περιεχόμενον. ἐπὶ γὰρ ἀνθρώπων τοῦτο νομιστέον· οὔτε γὰρ ἑτέρων χωρητικοὶ τυγχάνομεν οὐδ' αὖ χωροῦμεν εἰς ἕτερον. εἰ δὲ καὶ χωροίημεν, κενώματι περιέξομέν τε καὶ περιληφθησόμεθα. ἐπὶ θεοῦ δὲ τοιόνδε τι νοητέον· ὥσπερ <εἰ ἐν> ἀνθρώπου ψυχῇ δύο ἐπιστῆμαι ἢ πλείους συνελθοῦσαι ὁμοῦ τυγχάνοιεν, ἰατρικὴ καὶ φιλοσοφικὴ καὶ ὅσαι ἄλλαι, ὑπ' ἀλλήλων οὐ στενοχωροῦνται ἐν νοῦ καὶ ψυχῆς χώρῳ αἱ πολλαὶ τὸν ἀριθμόν, εὐρυχωρούμεναι καὶ ἀλλήλαις ἐνδιδοῦσαι τόπον, καίτοιγε πληροῦσαι τὴν ψυχὴν καὶ μὴ ὑπεξιοῦσαι ἑτέρα τῆς ἑτέρας, ὡς μίαν οὐσίας φαντασίαν παρέχειν τοῖς σκεπτικωτάτοις τῶν ἀνδρῶν, ἐπεὶ καθ' ἑνὸς καὶ ταὐτοῦ ἵδρυνται νοῦ, διενηνόχασιν <δ'> ἀλλήλων, καθότι ἄλλο μὲν ἰατρική, ἕτερον δὲ φιλοσοφική· οὕτω δὴ καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς κατὰ τοῦ αὐτοῦ κεχωρηκότες τόπου καὶ ἀλλήλων δεκτικοὶ γεγονότες καὶ ἓν ὄντες, ὡς μικρῷ πρόσθεν ἔφημεν, μόνῃ ὑποστάσει καὶ προσηγορίᾳ θάτερος θατέρου διενήνοχεν, ἐν ἀλλήλοις δὲ τυγχάνουσιν ὄντες. καὶ ὥσπερ μύρου ὀδωδὴ ἀέρι ἐνδιαχυθεῖσα κατὰ τοῦ αὐτοῦ χωρίου τ' ἀμφότερα τυγχάνοντα τῷ δοκεῖν μὲν συνδιακέχυται, κατ' ἀλήθειαν δ' εὑρήσεις ἕτερον μὲν τὸν ἀέρα, ἄλλο δὲ τὴν ὀδωδήν·
1300 M. ἤδη δὲ καὶ φῶς τὸ ἐξ ἡλίου καὶ πνοαὶ τῶν ἀνέμων ἀλλήλων διαπεφυκότα καὶ τῷ δοκεῖν ἀναμεμιγμένα πολλὴν ἔχουσι τὴν διαφοράν· φῶς γὰρ καὶ ἄνεμοι οὐχ ἥκιστα διεστήκασιν ἀλλήλων· τούτοις ἀπείκασον τὴν θεότητα καὶ μεῖζόν τι τῆς διὰ λόγου ἀποδείξεως διανοηθεὶς εὕροις ἂν τοὺς ἑκατέρους

S D v 6 τε v 11 εἰ ἐν add Jaeger 12 τυγχάνοι libri, correxi 13 νῷ libri, correxi 15 ἐνδιδοῖαι libri, correxi τόπον S: τὸ πᾶν v 18 δ' add Jaeger 19 ἄλλο D: ἄλλον S v 21 μικροῦ v

ἓν κατ᾽ οὐσίαν καὶ ὁμοφροσύνην καὶ τὸν ἕνα εἰς πατέρα καὶ υἱόν, καθάπερ προέφημεν, ὑποστάσει καὶ προσηγορίᾳ διαπεπλασμένον.

Πάντως ἄρα κινήσεις μοι καὶ τοῦτο· Εἰ τὰ πάντα πεπλήρωκεν ὁ πατήρ, αὖθις δὲ καὶ ὁ υἱός, ποῖος ὑπολείπεται τόπος τῇ ἀντικειμένῃ δυνάμει; μεθ᾽ ἑαυτοῦ γὰρ ἔχειν τὸν ἐναντίον οὐκ ἂν ἁρμόζοι θεῷ. εἰ δ᾽ ὅπῃ τυγχάνοι καὶ ὁ τῆς κακίας ἄρχων, μὴ καὶ θεὸς εἴη ἐνταυθοῖ, περίγραπτος ἄρα καὶ μερικὸς ἀποδειχθήσεται ὁ θεός. ἀλλά φημι ἔγωγε πανταχοῦ εἶναι καὶ μὴ εἶναι ὅπου οὐκ ἔστι θεός, εἰ καὶ ὁ τῆς κακίας ἄρχων τυγχάνοι που ὤν. οὐδὲ γὰρ αἱ τοῦ ἡλίου ἀκτῖνες κατὰ βορβόρων καὶ λύθρων φερόμεναι μολύνονται, ἀλλὰ μᾶλλον ἀφανιστικαὶ τυγχάνουσι καταξηραίνουσαι τῷ καύματι· οὕτω καὶ Ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον προσαγορεύεται καὶ Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, ἵνα τοῖς μὲν προσφιλέσι λύχνος καὶ φῶς ᾖ, τοῖς δὲ ἐχθροῖς πῦρ καταναλίσκον· Φλογιεῖ, γάρ φησι, κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. διὸ δὴ καὶ ὁ τῆς κακίας ἄρχων βουλόμενος διαφεύγειν τὰς πυρφόρους τοῦ θεοῦ βολὰς πάντα τόπον διαθεῖ· πανταχοῦ δ᾽ εὑρίσκων τὸν θεὸν δίεισι <διὰ> πάσης ἀνθρωπότητος· εἰ δ᾽ εὑρίσκει τινὰς τῷ πνεύματι ζέοντας, ἀποφεύγει καὶ τὸν παρ᾽ αὐτῶν καύσωνα. κατάδυσιν δ᾽ εὑρὼν ἔν τινι μὴ ἔχοντι πνεῦμα θεοῦ σεσαρωμένην καὶ κεκοσμημένην ἐπ᾽ ὀλίγον, ἀναπαεὶς συναναλωθήσεται τῷ ὑποδεδεγμένῳ· ὁμοίως γὰρ ἐχθρὸς ὀφθήσεται καὶ ὁ ὑποδεδεγμένος τὸν ἀνταίροντα τῷ θεῷ φίλον ποιούμενος. ἱκανῶς οἶμαι πρὸς ἀπόδειξιν καὶ τούτοις ἐπεξιέναι.

Μηδὲ τοῦθ᾽ ὑπολελείφθω μοι λεληθότι ᾗ καὶ τῇ πρὸς τὰ ἄλλα ὁρμῇ παραπλεύσαντι ὥσπερ βιαίᾳ συνωσθέντι πνοῇ, πῶς σὺν τοῖς ἅπασιν οὐδ᾽ ὁ υἱὸς οἶδε τὴν ἡμέραν ὁ ἐν ἑαυτῷ ἔχων τὸν πατέρα καὶ αὐτὸς ὢν ἐν τῷ πατρί; ἀλλὰ καὶ

14 Hebr 12, 29 15 Ps 49, 3 17 Ps 96, 3 30 Matth 24, 36

S D v 3 διαπ . . . . . μένον (lacuna quinque litterarum) libri, supplevi 20 διά addidi 21 εἶθ᾽ libri, correxi

τοῦτο ταπεινοφροσύνης ὑπερβολῆς ἔμφασιν ἔχει. ἔδει γὰρ ὑπερβαλλόντως τὸν υἱὸν τοῦ θεοῦ ταπεινοῦν ἑαυτόν, ἐπεὶ καὶ τὴν ἄλλην πολιτείαν καθ' ὑπερβολὴν κάλλιστα διεδέξατο. εἰπὼν δὲ μὴ ἐγνωκέναι τὸ μὲν ταπεινοφρονεῖν τοῖς ἀκροωμένοις ἐνέφηνεν· ἵνα δὲ μὴ δοκῇ ψευδὴς εἶναι, εἶπεν· Εἰ μὴ ὁ πατὴρ οἶδε μόνος τῷ μὲν λόγῳ ἀνηνάμενος εἰδέναι, τῇ δὲ δυνάμει τοῦ αἰνίγματος ὁμολογήσας· εἰδότος γὰρ μόνου τοῦ πατρὸς οἶδεν ἄρα καὶ ὁ υἱὸς ἓν ὢν αὐτὸς καὶ ὁ πατήρ.
1301 M. δύο δὴ ἐκ τούτου κατορθώματα συμβέβηκε τῇ ἀνθρωπότητι, ὑπόθεσίς τε ταπεινοφροσύνης καὶ συντελείας ἄγνοια, δι' ἣν ὁ βίος συγκεκρότηται. τί δ' ἂν εἴη δυσεπιγνωστότερον, ἡ ἡμέρα τῆς συντελείας ἢ αὐτὸς ὁ θεὸς καὶ πατήρ; εἰ δὲ τὸν πατέρα ἔγνω εἰπών· Ἵνα γινώσκητέ με, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, πῶς οὐκ ἂν ἔγνω τὴν ἡμέραν, ἧσπερ καὶ δημιουργὸς αὐτὸς γέγονε; χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδέν. καὶ τοῦτο τοῖς βραχέσι τούτοις ἀποδεδειγμένος ὁ λόγος ὅπως ἔχει, μὴ ἐμποδών τινι γίγνοιτο πρὸς τὴν εὐθεῖαν πίστιν.

Ὑμεῖς οὖν, οἱ κατὰ Σαβέλλιόν τε καὶ Ἄρειον, οἱ ἐν τηλικαύτῃ διαφορᾷ γεγονότες, πᾶσαν ἐπεγνωκότες ἐκ τῶν εἰρημένων τὴν ἀλήθειαν, σύνιτε μοι πρὸς φιλίαν καὶ εἰς τὸ μεταξὺ τῶν ἀμφοῖν ἐληλυθότες παγίδοιν εὑρήσετε τὴν τῆς ἀληθείας ὁδόν, ᾗ πορευθέντες ὄψεσθε τὴν αἰώνιον ζωήν.

13 Joh 10, 15

S D v 1 ὑπερβολήν S 16 τοῦτο v: τούτῳ S, ταύτῳ D

ADVERSUS MACEDONIANOS
DE SPIRITU SANCTO

CONSPECTUS SIGLORUM
(Adversus Macedonianos)

S codex Vaticanus gr. 1907 chartaceus saec. XII (XIII)

D codex Musei Britannici Burneianus membranaceus saec. XIII, qui descriptus est de codice Vaticano gr. 1907

v textus vulgatus editionis Parisinae (1638) et Mignei

‹ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ›
ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ
ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΑΝΩΝ ΤΩΝ ΠΝΕΥΜΑΤΟΜΑΧΩΝ

1301 M. Τάχα οὐδὲ ἀποκρίνασθαι προσήκει τοῖς ματαίοις τῶν λόγων· τὸ γὰρ σοφὸν τοῦ Σολομῶντος παράγγελμα πρὸς τοῦτο ἔοικε φέρειν τὸ διακελευόμενον μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ. ἀλλ' ἐπειδὴ κίνδυνός ἐστι μὴ διὰ τῆς ἡμετέρας σιγῆς κατισχύσῃ τῆς ἀληθείας τὸ ψεῦδος καὶ πολλὴν ἡ σηπεδονώδης αὕτη τῆς αἱρέσεως γάγγραινα νομὴν κατὰ τῆς ἀληθείας λαβοῦσα τὸν ὑγιαίνοντα τῆς πίστεως λόγον διαλωβήσηται, ἀναγκαῖον ἐφάνη μοι μὴ κατὰ τὴν ἀφροσύνην αὐτῶν ἀποκρίνασθαι τῶν τὰ τοιαῦτα κατὰ τῆς εὐσεβείας προτεινομένων, ἀλλ' ἐπὶ διορθώσει τῶν μοχθηρῶν ὑπολήψεων. καὶ γὰρ τὸ παροιμιῶδες παράγγελμα δοκεῖ μοι μὴ σιγήν, ἀλλὰ διόρθωσιν τῶν ἀφραινόντων παρεγγυᾶν ὡς δεῖν τὰς ἀποκρίσεις μὴ συντρέχειν τῇ ἀφροσύνῃ τῶν ὑπολήψεων,
1304 M. ἀνατρέπειν δὲ μᾶλλον τὰς ἀνοήτους αὐτῶν καὶ ἠπατημένας περὶ τῶν δογμάτων δόξας.

Τί οὖν ἐστιν ὃ προφέρουσιν ἡμῖν; ἀσεβεῖν αἰτιῶνται τοὺς περὶ τοῦ ἁγίου πνεύματος μεγαλοπρεπεῖς ἔχοντας ὑπολήψεις· καὶ ὅσα τοῖς τῶν πατέρων ἑπόμενοι δόγμασιν ὁμολογοῦμεν περὶ τοῦ πνεύματος, ταῦτα πρὸς τὸ δοκοῦν ἐκλαμβάνοντες ἀφορμὴν ἑαυτοῖς παρέχουσι καθ' ἡμῶν εἰς ἀσεβείας γραφήν. ἡμῶν γὰρ συντετάχθαι τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον ὁμολογούντων ὡς μηδεμίαν εἶναι παραλλαγὴν ἐν μηδενὶ τῶν εὐσεβῶς περὶ τὴν θείαν φύσιν νοουμένων τε καὶ ὀνομαζομένων ἐκτὸς τοῦ καθ' ὑπόστασιν ἰδιαζόντως θεωρεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ἐκ τοῦ θεοῦ

2 Prov 26, 4

S D v **Tit** περὶ τοῦ ἁγίου πνεύματος κατὰ μακεδονιανῶν τῶν πνευματομάχων

ἐστι καὶ τοῦ Χριστοῦ ἐστι, καθὼς γέγραπται· οὔτε κατὰ τὸ ἀγέννητον τῷ πατρὶ οὔτε κατὰ τὸ μονογενὲς τῷ υἱῷ συγχεόμενον ἀλλά τισιν ἐξαιρέτοις ἰδιώμασιν ἐφ' ἑαυτοῦ θεωρούμενον ἐν τοῖς ἄλλοις πᾶσι καθάπερ ἔφην τὸ συνημμένον καὶ ἀπαράλλακτον ἔχειν ὁμολογούντων· οἱ ὑπεναντίοι φασὶν ἀπεξενῶσθαι μὲν αὐτὸ πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν τῆς φυσικῆς κοινωνίας καὶ διὰ τὸ τῆς φύσεως διαλλάττον ὑποβεβηκέναι καὶ ἠλαττῶσθαι τοῖς πᾶσιν ἐν δυνάμει καὶ δόξῃ καὶ ἀξιώματι καὶ πᾶσιν ἅπαξ τοῖς θεοπρεπῶς λεγομένοις ὀνόμασί τε καὶ νοήμασι· καὶ διὰ τοῦτο δόξης μὲν ἀμέτοχον, ἀνάξιον δὲ τῆς πρὸς τὸν πατέρα καὶ υἱὸν ὁμοτιμίας φασίν· δυνάμεως δὲ τοσοῦτον μετέχειν, ὅσον ἐπαρκεῖν αὐτῷ πρὸς ἀποτεταγμένας τινὰς καὶ μερικὰς ἐνεργείας, τῆς δὲ δημιουργικῆς ἰσχύος ἔξω παντάπασιν καθεστάναι. ταύτης δὲ κρατούσης παρ' αὐτοῖς τῆς ὑπολήψεως ἐκ τοῦ ἀκολούθου κατασκευάζεται παρ' αὐτῶν τὸ μηδὲν ἔχειν ἐν ἑαυτῷ τὸ πνεῦμα τῶν περὶ τὴν θείαν φύσιν εὐσεβῶς λεγομένων τε καὶ νοουμένων.

Τί οὖν ὁ ἡμέτερος λόγος; οὐδὲν καινὸν ἡμεῖς οὐδὲ παρ' ἡμῶν αὐτῶν τοῖς τὰ τοιαῦτα προκαλουμένοις ἀποκρινούμεθα, ἀλλὰ ἀποχρησόμεθα τῇ τῆς θείας γραφῆς περὶ τοῦ ἁγίου πνεύματος μαρτυρίᾳ, δι' ἧς θεῖον τὸ πνεῦμα τὸ ἅγιον εἶναί τε καὶ λέγεσθαι μεμαθήκαμεν. εἰ οὖν συντίθενται καὶ αὐτοὶ τούτῳ καὶ μὴ ἀντιβαίνουσι ταῖς θεοπνεύστοις φωναῖς, εἰπάτωσαν οἱ πρὸς τὸν καθ' ἡμῶν πόλεμον ἕτοιμοι, τίνος ἕνεκεν οὐ πρὸς τὴν γραφήν, ἀλλὰ πρὸς ἡμᾶς διαμάχονται; οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι παρὰ τοῦτό φαμεν. θείας δὲ φύσεως <εἶναι τὸ πνεῦμα> ὁμολογοῦντες οὐδεμίαν ἐπιγινώσκομεν οὔτε ἐκ τῆς τῶν γραφῶν διδασκαλίας οὔτε ἐκ τῶν κοινῶν ἐννοιῶν κατ' αὐτὸ τοῦτο διαφοράν· ὥστε μεμερίσθαι πρὸς ἑαυτὴν τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν διά τινος ἐπιτά-

1 Joh 15, 26 Gal 4, 6

S D v 4 τὸ . . . . . μένον S v, lacunam suppl D 6 αὐτὸν v 12 ἐπαρκεῖ v 17 τῆς θείας φύσεως v 26 ἕνεκα v 28 εἶναι τὸ πνεῦμα addidi (cf p 94, 3)

σεως ἢ ὑφέσεως παρὰ τὸ πλέον τε καὶ ἔλαττον αὐτὴν πρὸς ἑαυτὴν διαλλάττουσαν. ἐπειδὴ γὰρ ἁπλῆ καὶ μονοειδὴς καὶ ἀσύνθετος εἶναι πεπίστευται καὶ οὐδεμία πλοκὴ καὶ σύνθεσις ἐξ ἀνομοίων περὶ αὐτὴν θεωρεῖται, διὰ τοῦτο, ἐπειδὰν ἅπαξ θείαν φύσιν τῇ ψυχῇ ἐννοήσωμεν, τὸ ἐν παντὶ θεοπρεπεῖ νοήματι τέλειον διὰ τοῦ ὀνόματος τούτου συμπαρεδεξάμεθα· τὸ γὰρ θεῖον ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λόγῳ τὸ τέλειον
1305 M. ἔχει. εἰ δὲ ἐλλείποι τινὶ καὶ ὑστερίζοι κατά τι τῆς τελειότητος, κατὰ τὸ ἐλλεῖπον χωλεύσει καὶ ὁ τῆς θεότητος λόγος ὡς μηκέτι θεῖον ἐν ἐκείνῳ τῷ μέρει ἢ εἶναι ἢ λέγεσθαι. πῶς γὰρ ἄν τις τῷ ἀτελεῖ καὶ ἐλλείποντι καὶ τῆς ἑτέρωθεν προσθήκης προσδεομένῳ τὴν προσηγορίαν ταύτην ἁρμόσειεν;

Καθάπερ καὶ διὰ τῶν σωματικῶν ὑποδειγμάτων ἔστι τὸν λόγον πιστώσασθαι. ἡ γὰρ τοῦ πυρὸς φύσις ἐπίσης πᾶσι τοῖς συμπληροῦσιν αὐτὴν μορίοις τὴν θερμαντικὴν αἴσθησιν τοῖς ἁπτομένοις παρέχεται· καὶ οὐ τὸ μέν τι τῆς φλογὸς ὑπερτεταμένην, τὸ δὲ ὑφειμένην ἔχει τὴν θερμασίαν· ἀλλ' ἕως ἂν ᾖ πῦρ, ὅλον διόλου τῇ ταὐτότητι τῆς ἐνεργείας ἀδιάστατον πρὸς ἑαυτὸ τὴν ἕνωσιν ἔχει. εἰ δέ τι κατά τι μέρος καταψυχθείη, οὐκέτι πῦρ κατὰ τὸ κατεψυγμένον ὀνομασθήσεται τῇ πρὸς τὸ ἐναντίον ὑπαλλαγῇ τῆς θερμαντικῆς ἐνεργείας συμμεταποιουμένου καὶ τοῦ ὀνόματος. ὡσαύτως καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος καὶ πάντων τῶν στοιχειωδῶς ὑποβεβλημένων εἷς καὶ ὁ αὐτὸς ἐφ' ἑκάστου λόγος οὐ παραδεχόμενος πλεονασμὸν ἢ ἐλάττωσιν. οὐδὲ γὰρ τὸ ὕδωρ μᾶλλον ἢ ἔλαττον δύναται λέγεσθαι· ἕως γὰρ ἂν ἐπίσης ὑγρὸν ᾖ, καὶ ἡ προσηγορία τοῦ ὕδατος ἐπ' αὐτοῦ ἀληθεύεται· εἰ δὲ μεταποιηθείη πρὸς τὴν ἐναντίαν ποιότητα, συνηλλοιώθη πάντως ἐπ' αὐτοῦ καὶ τὸ ὄνομα. καὶ τοῦ ἀέρος τὸ μαλακόν τε καὶ ἀνωφερὲς καὶ κοῦφον ἐπίσης πᾶσι τοῖς μορίοις ἐνθεωρεῖται· τὸ δὲ πυκνὸν καὶ ἐμβριθὲς καὶ εἰς γῆν ῥέον διαφεύγει τὸ καὶ ἀὴρ ὀνομάζεσθαι. οὕτως καὶ ἡ θεία φύσις, ἕως μὲν ἂν διὰ παντὸς τοῦ περὶ αὐτὴν εὐσεβῶς θεωρουμένου

S D v 8 ὑστερίζοι Jaeger: ὑστερίζει D, lacunam habet post ὑστερ S, ὑστερεῖται v 13 ὑποδειγμάτων om v 15 μορίαν v 19 ἑαυτὸν v 25 οὔτε libri, correxi

νοήματος τὸ τέλειον ἔχῃ, ἐπαληθεύσει τὴν προσηγορίαν τῇ τοῦ ἀγαθοῦ τελειότητι· εἰ δὲ ὑποσπασθείη τι τῶν συντεινόντων εἰς τὸν τῆς τελειότητος λόγον, ψεύσεται κατ᾽ ἐκεῖνο τὸ μέρος τὸ τῆς θεότητος ὄνομα καὶ οὐκ ἐφαρμόσει τῷ ὑποκειμένῳ· ἴσον γὰρ ἢ καὶ μᾶλλόν ἐστι τὸ ἀδύνατον ξηρῷ σώματι τὴν τοῦ ὕδατος ἐπωνυμίαν ἁρμόσαι καὶ πῦρ προσαγορεῦσαι τὸ κατεψυγμένον ἐν τῇ ποιότητι καὶ τὸ στερρὸν καὶ ἀντίτυπον ἀέρα εἰπεῖν καὶ θεῖον ὀνομάσαι, ᾧ μὴ συνυπακούεται ἡ τῆς τελειότητος ἔννοια.

Εἰ οὖν ἀληθῶς καὶ οὐ μέχρις ὀνόματος θεῖον τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ τῆς γραφῆς καὶ ὑπὸ τῶν πατέρων ἡμῶν προσηγόρευται, τίς ἔτι λόγος ἐστὶ τοῖς ἀντιστατοῦσι τῇ δόξῃ τοῦ πνεύματος; εἰ γὰρ θεῖον, καὶ ἀγαθὸν πάντως καὶ δυνατὸν καὶ σοφὸν ἔνδοξόν τε καὶ αἴδιον καὶ πάντα ὅσα τοῦ τοιούτου γένους ἐστὶν ὀνόματα πρὸς τὸ μεγαλοπρεπὲς τὰς ὑπολήψεις ἡμῶν ἐπαίροντα. ταῦτα οὐκ ἐκ μετουσίας ἔχειν ἡ ἁπλότης τοῦ ὑποκειμένου διαμαρτύρεται ὡς ἄλλο μέν τι τῇ ἑαυτοῦ φύσει ὑπονοεῖν εἶναι, ἕτερον δέ τι γενέσθαι τῇ παρουσίᾳ τῶν εἰρημένων· ἴδια γὰρ ταῦτα τῶν σύνθετον εἰληχότων τὴν φύσιν. ἁπλοῦν δὲ τὸ πνεῦμα τὸ ἅγιον παρὰ πάντων ἐπίσης συνωμολόγηται καὶ ὁ ἀντιλέγων οὐκ ἔστιν. εἰ οὖν ἁπλοῦς ὁ τῆς φύσεως αὐτοῦ λόγος, οὐκ ἐπίκτητον ἔχει τὸ ἀγαθόν, ἀλλ᾽ αὐτὸ ὅ τί ποτέ ἐστιν, ἀγαθότης ἐστί, σοφία, δύναμις, ἁγιασμός, δικαιοσύνη, ἀϊδιότης, ἀφθαρσία, πάντα τὰ ὑψηλὰ 1308 M. τῶν ὀνομάτων καὶ ὑπεραίροντα· τὸ οὖν τοιοῦτον ἐκ ποίας διανοίας ἄδοξον εἶναι κατασκευάζουσιν οἱ μὴ φοβούμενοι τὸ χαλεπὸν τῆς κατὰ τοῦ πνεύματος βλασφημίας κατάκριμα; σαφῶς γὰρ τοῦτο προτείνουσι τὸ μὴ δεῖν αὐτὸ δοξαστὸν εἶναι πιστεύειν, οὐκ οἶδα τὸ τῇ φύσει ἔνδοξον τίνι λογισμῷ μὴ ὁμολογεῖν ὅ ἐστι λυσιτελὲς εἶναι κρίνοντες.

Οὐδὲ γὰρ ἐκεῖνο αὔταρκες εἰς ἀπολογίαν αὐτοῖς, ὅτι ἐπειδὴ κατὰ τὴν τάξιν τρίτον ὑπὸ κυρίου τοῖς μαθηταῖς παραδέδοται, διὰ τοῦτο τῆς θεοπρεποῦς ἐννοίας ἀπηλλοτρίωται. ἐφ᾽ ὧν γὰρ ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάτ-

S D v 1 ἐπαληθεύσει Jaeger: ἐπαληθεύει libri 25 τοιοῦτο v 31 αὐτῶν v 32 τρίτην v

τωσιν ἢ παραλλαγὴν ἔχει, πῶς ἐστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλαττώσεώς τινος, τῆς κατὰ φύσιν παραλλαγῆς, οἴεσθαι σημεῖον εἶναι; ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα — αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν — ἔπειτα κατασκευάζοι πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δὲ ἐφεξῆς ὑποβεβηκέναι καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν, τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λέγεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ καὶ πάντα τὰ τοῦ πυρὸς κατεργάζηται· εἰ δὲ κωλύει οὐδὲν πῦρ εἶναι τὴν τρίτην λαμπάδα, κἂν ἐκ προλαβούσης ἀναλάμψῃ φλογός, τίς ἡ σοφία τῶν διὰ τοῦτο τὴν τοῦ ἁγίου πνεύματος ἀξίαν ἀθετεῖν εὐσεβὲς νομιζόντων, ἐπειδήπερ μετὰ πατέρα καὶ υἱὸν ἠριθμήθη παρὰ τῆς θείας φωνῆς; εἰ μὲν γὰρ λείπει τι τῶν θεοπρεπῶν νοημάτων ἐν τοῖς ἐπιθεωρουμένοις τῇ φύσει τοῦ πνεύματος, καλῶς αὐτῷ προσμαρτυροῦσι τὸ ἄδοξον· εἰ δὲ διὰ πάντων τὸ μεγαλεῖον τῆς τοῦ ἁγίου πνεύματος ἀξίας κατανοεῖται, τί μικρολογοῦσι περὶ τὴν ὁμολογίαν τῆς δόξης; ὥσπερ ἂν εἴ τις ἄνθρωπον τινὰ λέγων εἶναι μηκέτι ἀσφαλὲς ἡγοῖτο συνομολογεῖν ἐπὶ τούτου τὸ λογικὸν ἢ θνητὸν ἢ εἴ τι ἄλλο περὶ τὸν ἄνθρωπον λέγεται καὶ διὰ
1309 M. τοῦτο ἀνατρέποι πάλιν ὃ ἔδωκεν· εἰ γὰρ οὐ λογικός, οὐδὲ ἄνθρωπος πάντως· εἰ δὲ τοῦτο δέδοται, πῶς τὸ συνημμένως μετὰ τοῦ ἀνθρώπου νοούμενον ἀμφιβάλλεται; οὕτω τοίνυν εἰ ἀληθεύει περὶ τοῦ πνεύματος ὁ θεῖον λέγων, οὐδὲ ὁ τίμιόν τε καὶ ἔνδοξον ἀγαθόν τε καὶ δυνατὸν εἶναι τοῦτο διοριζόμενος ψεύδεται· τῇ γὰρ τῆς θειότητος ἐννοίᾳ πάντα τὰ τοιαῦτα νοήματα συνεισέρχεται· ὥστε ἀναγκαῖον εἶναι τῶν δύο τὸ ἕτερον, ἢ μηδὲ θεῖον λέγειν ἢ μηδὲν τῶν θεοπρεπῶν νοημάτων ὑποσπᾶν τῆς θειότητος. διὰ τοῦτο δεῖ πάντως μετ' ἀλλήλων τὰ δύο καταλαμβάνεσθαι, καὶ τὴν θείαν φύσιν μετὰ τῆς

S D v 2 ante τῆς add ἢ D v, sed cf 8 12 τοῦτο D: deletum in S, ταῦτα v 13 εὐσεβὲς: ἀσεβῶς v 23 πάντως om v συνημμένως Jaeger: συνημμένον libri 30 δεῖ v: δεῖν S

προσφυοῦς ὑπολήψεως καὶ τὰς εὐσεβεῖς ἐννοίας περὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν.

Ἐπεὶ οὖν εἴρηται τῆς θείας φύσεως εἶναι τὸ πνεῦμα καὶ καλῶς εἴρηται, πᾶσα δὲ μεγαλοπρεπὴς ἔννοια τῷ ὀνόματι τούτῳ καθὼς εἴρηται συνεμφαίνεται, ὁ ἐκεῖνο δοὺς τῇ δυνάμει συνωμολόγησε τὰ λειπόμενα, τὸ καὶ ἔνδοξον εἶναι καὶ δυνατὸν καὶ εἴ τι πρὸς τὸ κρεῖττον φέρει τὴν σημασίαν. οὐδὲ γὰρ φύσιν ἔχει μὴ ὁμολογεῖσθαι ταῦτα ἐπὶ τοῦ πνεύματος διὰ τὸ ἀπεμφαῖνον τῶν ἀντιδιαστελλομένων τοῖς τοιούτοις ὀνόμασιν· ὁ γὰρ ἔδοξον μὴ διδοὺς ἄδοξον δώσει· καὶ ὁ τὸ δυνατὸν ἀθετῶν ἐπ᾽ αὐτοῦ τῷ ἐναντίῳ συνθήσεται· ὡσαύτως καὶ περὶ τοῦ τιμίου καὶ ἀγαθοῦ· καὶ τὰ πρὸς τὰ κρείττονα εἰ μὴ παραδέχοιτο, τὰ ἐναντία πάντως ὁμολογήσει. εἰ δὲ φρικτὸν τοῦτο καὶ πάσης ἀτοπίας καὶ βλασφημίας ἐπέκεινα, πρόδηλον ὅτι τοῖς εὐσημοτέροις ὀνόμασί τε καὶ νοήμασι περὶ τοῦ ἁγίου πνεύματος οἱ εὐσεβοῦντες συνθήσονται καὶ ἐροῦσιν εἶναι ταῦτα, ἃ δὴ πολλάκις εἰρήκαμεν, τίμιον, δυνατόν, ἔνδοξον, ἀγαθὸν καὶ εἴ τι ἄλλο τῶν πρὸς εὐσέβειαν συντεινόντων λέγεται. ταῦτα δὲ οὐκ ἀτελῶς προσεῖναι τῷ πνεύματι οὐδὲ περιωρισμένην ἔχοντα τοῦ καλοῦ τὴν ποσότητα, ἀλλ᾽ ἐπὶ τὸ ἄπειρον ταῖς κλήσεσι συμβαίνοντα· οὐ γὰρ μέχρι τινὸς τίμιον, εἶτα ἄλλο τι νοεῖται παρὰ τὸ τίμιον, ἀλλ᾽ ἀεὶ τοιοῦτον. καὶ εἰ κατόπιν τῶν αἰώνων λογίζοιο καὶ εἰ πρὸς τὸ ἐφεξῆς ἀποβλέποις, ἐν οὐδενὶ τὸ λεῖπον εἰς τιμὴν ἢ δόξαν ἢ δύναμιν ἐξευρήσεις ὡς ἢ κατὰ προσθήκην αὔξεσθαι ἢ ἐλαττοῦσθαι δι᾽ ὑφαιρέσεως. οὐκοῦν εἰ ὅλον δι᾽ ὅλου τέλειον, ἐν οὐδενὶ δέχεται τὴν ἐλάττωσιν. καθ᾽ ὃ γὰρ ἂν μειωθῇ περὶ τὴν τοιαύτην ὑπόνοιαν ἡ τελειότης, κατ᾽ ἐκεῖνο δώσει χώραν ταῖς ἀτιμοτέραις τῶν ὑπολήψεων· τὸ γὰρ μὴ τελείως τίμιον, μέρει τινὶ τοῦ ἐναντίου μετέχειν ὑπονοεῖται. εἰ δὲ τοῦτο καὶ μέχρις ἐννοίας λαβεῖν τῆς ἐσχάτης παραπληξίας ἐστί, καλῶς ἔχει πάντως ἀόριστον αὐτῷ καὶ ἀπερίγραπτον καὶ κατ᾽ οὐδὲν μέρος ἠλαττωμένην προσμαρτυρεῖν τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα.

S D v 8 ἐπὶ S: περὶ v 15 δῆλον v 24 ἀποβλέπῃς v

Εἰ δὴ τοιοῦτόν ἐστιν, ἐφεξῆς ὁ λόγος καὶ περὶ τοῦ υἱοῦ τὸ ἴσον διασκεψάσθω καὶ περὶ τοῦ πατρὸς ὡσαύτως. ἆρ᾽ οὐχὶ τὸ τέλειον ὁμολογεῖ τῆς τιμῆς καὶ ἐπὶ τούτου καὶ ἐπ᾽ ἐκείνου; πάντας οἶμαι τοὺς νοῦν ἔχοντας τοῖς εἰρημένοις συνθήσεσθαι. εἰ οὖν τελεία τοῦ πατρὸς ἡ τιμή, τελεία δὲ καὶ τοῦ υἱοῦ, προσεμαρτυρήθη δὲ καὶ τῷ ἁγίῳ πνεύματι τῆς τιμῆς τὸ τέλειον, διὰ τί νομοθετοῦσιν ἡμῖν οἱ 1312 M. καινοὶ δογματισταὶ μὴ δεῖν ὁμολογεῖν ἐπ᾽ αὐτοῦ πρὸς πατέρα καὶ υἱὸν τὸ ὁμότιμον; ἡμεῖς μὲν γὰρ τοῖς ἐξητασμένοις ἑπόμενοι τὸ μηδεμιᾶς προσθήκης εἰς τελείωσιν προσδεόμενον ἀτιμότερον ἑτέρου τινὸς οὔτε λέγειν οὔτε νοεῖν δυνάμεθα. οὗ γὰρ τὸ πλεονάζον οὐκ ἐξευρίσκει ὁ λόγος διὰ τὸ ἀνελλιπές τε καὶ τέλειον, ἐν τίνι καταλήψεται αὐτοῦ τὴν ἐλάττωσιν, οὐχ ὁρῶ. οἱ δὲ ἀπαγορεύοντες τὸ ὁμότιμον δογματίζουσι πάντως τὸ ἀτιμότερον. καὶ πάσας καὶ ὡσαύτως κατὰ τὴν αὐτὴν ἀκολουθίαν διὰ τῆς κατὰ τὴν σύγκρισιν ἐλαττώσεως ἐπὶ τὸ ἐναντίον τὰς εὐσεβεῖς ὑπολήψεις περὶ τοῦ πνεύματος παρατρέψουσι μὴ ἐν ἀγαθότητι μηδὲ ἐν δυνάμει μηδὲ ἐν ἄλλῳ τινὶ τῶν εὐσεβῶς περὶ αὐτοῦ λεγομένων συμμαρτυροῦντες τὸ τέλειον. εἰ δὲ τὸ πρόδηλον τῆς ἀσεβείας ἐκκλίνοντες τὸ ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λεγομένῳ νοήματι τέλειον ὁμολογοῦσιν, εἰπάτωσαν οἱ σοφοί, πῶς τελείου τέλειον ἢ τελειότερόν ἐστιν ἢ ἀτελέστερον· ἕως γὰρ ἂν ὁ τῆς τελειότητος ἐφαρμόζηται λόγος, οὔτε τὸ πλέον οὔτε τὸ ἔλαττον ἐν τῇ τοῦ τελείου ἐννοίᾳ ὁ λογισμὸς οὗτος παραδέχεται.

Εἰ οὖν διὰ πάντων τέλειον τὸ πνεῦμα τὸ ἅγιον εἶναι συντίθενται, ὡμολόγηται δὲ πρὸς τούτοις εὐσεβὲς εἶναι καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ ἐν παντὶ ἀγαθῷ τέλειον, τίς ὁ λόγος, καθ᾽ ὃν εὔλογον κρίνουσι πάλιν ἀναιρεῖν ὃ δεδώκασιν· τὸ γὰρ ἀναιρεῖν τὸ ὁμότιμον ἀπόδειξίς ἐστι τοῦ μὴ νομίζειν

S D v 19 μηδὲ correxi: μὴ libri 23 ἀτελέστερον D, in S propter tincturam nigram litterae vix cognosci possunt: ἀιδιώτερον v 25 λογισμὸς D, legi non potest S: λόγος v 30 πάλιν S: πνεῦμα (abbr male intell) v ὃ om v

μετέχειν τῆς τελειότητος. αὐτὸ δὲ τοῦτο τὴν τιμὴν ἐπὶ τῆς θείας φύσεως τί ποτε ἄρα νομίζουσιν, ἧς ἄμοιρον εἶναι τὸ πνεῦμα βούλονται; πότερον ταύτην φασὶν ἣν καὶ ἄνθρωποι ἀνθρώποις χαρίζονται λόγῳ τε θεραπεύοντες καὶ σχήματι, τὸ ὑπήκοον ἐνδεικνύμενοι κατὰ τὴν πρόοδον καὶ ὅσα τοιαῦτα τῇ ματαίᾳ τοῦ βίου συνηθείᾳ τῷ τῆς τιμῆς γίνεται λόγῳ; ἅπερ πάντα τῇ προαιρέσει τῶν ταῦτα ἐργαζομένων συνέστηκεν· ὧν καθ' ὑπόθεσιν μὴ προελομένων, οὐδεμίαν ἐκ φύσεως ἀφορμὴν ἔχει τῶν ἀνθρώπων οὐδεὶς εἰς τὸ εἶναι τῶν λοιπῶν τιμιώτερος πάντων ὁμοίως κατὰ τὰ αὐτὰ μέτρα τῆς φύσεως γνωριζομένων. σαφὴς δὲ ὁ λόγος καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχων· τὸν γὰρ σήμερον διὰ τὴν ἀρχήν, ἧς προέστηκε, τίμιον τοῖς πολλοῖς εἶναι δοκοῦντα εὑρήσομεν ἐφεξῆς ἕνα τῶν τιμώντων καὶ αὐτὸν γινόμενον τῆς ἀρχῆς εἰς ἕτερον μετενεχθείσης. ἆρ' οὖν τοιοῦτόν τι τῆς τιμῆς εἶδος καὶ ἐπὶ τῆς θείας φύσεως ἐπινοοῦσιν, ὥστε βουλομένων μὲν ἡμῶν τὸ τίμιον ἔχειν, παυσαμένων δὲ τοῦ τιμᾶν τῇ ἡμετέρᾳ προαιρέσει συγκαταλήγειν τὴν θείαν τιμήν; ἢ καταγέλαστόν ἐστι καὶ ἀσεβὲς ἅμα τὰ τοιαῦτα νοεῖν; οὐ γὰρ δι' ἡμᾶς τὸ θεῖον ἑαυτοῦ τιμιώτερον γίνεται, ἀλλ' ἀεὶ ὡσαύτως ἔχει οὔτε πρὸς τὸ χεῖρον οὔτε πρὸς τὸ κρεῖττον μεταβῆναι δυνάμενον· τὸ μὲν γὰρ οὐ δέχεται, τὸ δὲ οὐκ ἔχει.

Τίνι τοίνυν τρόπῳ τιμήσεις τὸ θεῖον; πῶς ὑψώσεις τὸ
1313 M. ὕψιστον; πῶς δοξάσεις τὸ ὑπὲρ πᾶσαν δόξαν; πῶς ἐπαινέσεις τὸ ἀκατάληπτον; εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καθώς φησιν Ἡσαΐας, ἐὰν πᾶσα ἡ τῶν ἀνθρώπων ζωὴ συναρμοσθεῖσα ὁμόφωνον ἀναπέμψῃ τὴν δόξαν, τίς ἔσται προσθήκη τῷ κατὰ τὴν φύσιν ἐνδόξῳ τῆς σταγόνος ἡ χάρις; Οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ θεοῦ καὶ μικροὶ κήρυκες τῆς ἀξίας νομίζονται· Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια αὐτοῦ, οὐ μέχρι τῶν οὐρανῶν, ἀλλ' ὑπεράνω τῶν οὐρανῶν, τῶν μικρῷ μέρει τῆς θεότητος τῇ σπιθαμῇ τρο-

24 Is 40, 15   29 Ps 18, 2   30 Ps 8, 2   32 Is 40, 12

S D v 23 τὸν (ante ὕψιστον) v   32 τῷ pro τῶν ante μικρῷ S

πικῶς ὀνομαζομένῃ περιειλημμένων. καὶ ἄνθρωπος, τὸ ἐπίκηρον τοῦτο καὶ ὠκύμορον ζῷον, καλῶς τῷ χόρτῳ προσεικασμένος, σήμερον ὢν καὶ αὔριον οὐκ ἐσόμενος, ἀξίως τιμῆσαι τὴν θείαν φύσιν πεπίστευκεν; ὅμοιον ὥσπερ ἂν εἴ τις ἐξάψας λεπτὴν ἶνα ἀπὸ στιππύου προσθήκην τινὰ ταῖς τοῦ ἡλίου μαρμαρυγαῖς διὰ τοῦ σπινθῆρος ὑπολαμβάνοι χαρίζεσθαι. τί λέγων εἰπέ μοι τιμήσεις, ἐάν περ ὅλως τιμῆσαι θελήσεις τὸ πνεῦμα τὸ ἅγιον; ὅτι ἀθάνατόν ἐστι πάντως, ὅτι ἄτρεπτόν τε καὶ ἀναλλοίωτον καὶ ἀεὶ καλὸν καὶ ἀπροσδεὲς τῆς ἑτέρωθεν χάριτος, ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται, ἅγιον, ἡγεμονικόν, εὐθές, δίκαιον, ἀληθινόν, τὰ βάθη ἐρευνῶν τοῦ θεοῦ, ἐκ πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ υἱοῦ λαμβανόμενον, καὶ εἴ τι τοιοῦτον. τί οὖν διὰ τούτων καὶ τῶν τοιούτων χαρίζῃ; τὰ προσόντα λέγεις ἢ διὰ τῶν μὴ προσόντων τιμᾷς; εἰ μὲν γὰρ τὰ μὴ προσόντα προσμαρτυρεῖς, ματαία ἡ χάρις καὶ εἰς οὐδὲν φέρουσα πλέον· ὁ γὰρ τὸ πικρὸν γλυκὺ λέγων, αὐτὸς μὲν ἐψεύσατο, τὸ δὲ ψεκτὸν οὐκ ἐπῄνεσεν. εἰ δὲ τὰ ὄντα λέγεις, τῇ φύσει τοιοῦτόν ἐστι πάντως καὶ ὁμολογοῦντος καὶ μή· φησὶ γὰρ ὁ ἀπόστολος ὅτι Εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει.

Τί οὖν βούλεται ἡ ὑποστολὴ τῆς ψυχῆς καὶ ἡ μεγαλοψυχία <τῶν> ἐπὶ μὲν τοῦ πατρὸς φιλοτιμουμένων, καὶ τῷ υἱῷ τυχεῖν τὰ ἴσα χαριζομένων, ἐπὶ δὲ τοῦ πνεύματος σμικρολογούντων τὴν χάριν, εἴπερ δέδεικται οὐκ ἐκ τῆς προαιρέσεως ἡμῶν πληρουμένη ἡ ἰδίως προσοῦσα τῇ θείᾳ φύσει τιμή, ἀλλὰ προσφυῶς συνυπάρχουσα; ἡ μὲν γὰρ ἀγνωμοσύνη τῶν ἀχαρίστων διὰ τῆς τοιαύτης αὐτῶν γνώμης ἐλέγχεται· τὸ δὲ πνεῦμα τῇ ἑαυτοῦ φύσει τίμιον, ἔνδοξον, δυνατόν, πάντα τὰ ὑψηλὰ τῶν νοημάτων ἐστί, κἂν οὗτοι μὴ βούλωνται. ναί φησιν. ἀλλὰ τὸν πατέρα μὲν δημιουργὸν εἶναι παρὰ τῆς γραφῆς ἐδιδάχθημεν· ὡσαύτως καὶ διὰ τοῦ

2 Matth 6, 30 19 II Tim 2, 13

S D v 5 στιππύου S: στυππείου D v 10 ἑτέρων v 12 τῶν pro τοῦ ante θεοῦ v 13 τοιοῦτο v 22 τῶν addidi 23 τυχεῖν v: τυχὸν S

υἱοῦ τὰ πάντα γεγεννῆσθαι ἐμάθομεν· οὐδὲν δὲ τοιοῦτον περὶ τοῦ πνεύματος ἡμᾶς ὁ λόγος ἐδίδαξεν. καὶ πῶς ἐστιν εἰκὸς εἰς ἰσοτιμίαν ἄγειν τὸ πνεῦμα τὸ ἅγιον τῷ διὰ τῆς δημιουργίας τοσοῦτον μέγεθος <τῆς> δυνάμεως ἐπιδειξαμένῳ; τί οὖν ἡμεῖς πρὸς τοῦτο ἀποκρινούμεθα; ὅτι μάταια ἐλάλησαν ἐν ταῖς καρδίαις αὐτῶν οἱ νομίζοντες μὴ ἀεὶ μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα εἶναι, ἀλλὰ κατὰ καιρούς τινας ποτὲ μὲν ἐφ᾽ ἑαυτοῦ θεωρεῖσθαι, ποτὲ δὲ συνημμένως καταλαμβάνεσθαι. εἰ γὰρ
1316 M. χωρὶς τοῦ πνεύματος γέγονεν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶσα ἡ κτίσις διὰ τοῦ υἱοῦ μόνου ἐκ τοῦ πατρός, εἰπάτωσαν οἱ ταῦτα λέγοντες, τί ἐποίει τότε τὸ πνεῦμα τὸ ἅγιον, ὅτε ὁ πατὴρ μετὰ τοῦ υἱοῦ τὴν κτίσιν ἐνήργει; ἄλλοις τισὶν ἔργοις προσησχολεῖτο καὶ διὰ τοῦτο τῆς κτίσεως τῶν πάντων οὐ συνεφήπτετο; καὶ τί ἔχουσι δεῖξαι ἰδιάζον ἔργον τοῦ πνεύματος, ὅτε ἡ κτίσις συνίστατο; ἢ μωρόν ἐστι καὶ ἀνόητον τὸ καὶ ἄλλην κτίσιν παρὰ τὴν ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ὑφεστῶσαν ἐπινοεῖν.

᾽Αλλ᾽ οὐκ ἠσχολεῖτο μέν, ῥαθυμίᾳ δέ τινι καὶ ῥαστώνῃ καὶ τῷ περὶ τοὺς πόνους ὄκνῳ τῆς περὶ τὴν κτίσιν σπουδῆς ἐχωρίζετο. ἀλλ᾽ ἵλεως εἴη ἡμῖν ἐπὶ τῇ ματαιότητι ταύτῃ τῇ τῶν λόγων αὐτὴ ἡ τοῦ πνεύματος χάρις. τῇ γὰρ ἀτοπίᾳ τῶν τὰ τοιαῦτα δογματιζόντων κατ᾽ ἴχνος ἑπόμενοι ἀβουλήτως ταῖς ἐννοίαις αὐτῶν οἷόν τινι βορβόρῳ τὸν λόγον κατερρυπώσαμεν. ἡ γὰρ εὐσεβὴς διάνοια τοῦτον ἔχει τὸν τρόπον· οὔτε πατὴρ χωρὶς υἱοῦ ποτε ἐννοεῖται οὔτε υἱὸς δίχα τοῦ ἁγίου πνεύματος καταλαμβάνεται. ὡς γὰρ ἀμήχανόν ἐστιν ἀνελθεῖν πρὸς τὸν πατέρα μὴ διὰ τοῦ υἱοῦ ὑψωθέντα, οὕτως ἀδύνατόν ἐστι κύριον ᾽Ιησοῦν εἰπεῖν μὴ ἐν πνεύματι ἁγίῳ· οὐκοῦν ἀκολούθως τε καὶ συνημμένως ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀεὶ μετ᾽ ἀλλήλων ἐν τελείᾳ τῇ τριάδι γνωρίζονται καὶ πρὸ πάσης κτίσεως καὶ πρὸ πάντων αἰώνων καὶ πρὸ πάσης καταληπτῆς ἐπινοίας ἀεὶ πατὴρ ὁ πατήρ ἐστι καὶ ἐν τῷ

26 Joh 14, 6 27 I Cor 12, 3

S D v 1 οὐδὲν D (S evanuit): οὐδὲ v τοιοῦτο v 4 τοιοῦτο v τῆς add Jaeger

πατρὶ ὁ υἱὸς καὶ μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον. εἰ οὖν ἀχωρίστως ταῦτα μετ' ἀλλήλων ἐστίν, τίς ἡ ματαιότης τῶν ἐν καιρῷ τινι διαχωρίζειν ἐπιχειρούντων τὸ ἄτμητον καὶ διαιρεῖν τὸ ἀχώριστον, ὥστε τολμᾶν λέγειν· Μόνος ἐποίησεν ὁ πατὴρ διὰ μόνου τοῦ υἱοῦ τὰ πάντα, τοῦ ἁγίου πνεύματος ἐν τῷ καιρῷ τῆς δημιουργίας ἢ μὴ παρόντος ἢ μὴ ἐνεργοῦντος, εἰ μὲν γὰρ οὐ παρῆν, εἰπάτωσαν ποῦ ἦν, πάντα τοῦ θεοῦ διειληφότος, εἴ τινα ἰδιάζουσαν τῷ πνεύματι στάσιν ἐπινοοῦσιν, ὥστε ἐφ' ἑαυτοῦ κεχωρισμένως εἶναι κατὰ τὸν τῆς κτίσεως χρόνον· εἰ δὲ παρῆν, πῶς ἀνενέργητον ἦν; τῷ μὴ δύνασθαί τι ποιεῖν ἢ τῷ μὴ βούλεσθαι; ἑκουσίως ἀπολειπόμενον ἢ ὑπό τινος βιαιοτέρας ἀνάγκης ἐλαυνόμενον; εἰ μὲν γὰρ ἐκ προαιρέσεως τὴν ἀργίαν ἠσπάζετο, οὐδὲ ἐν ἄλλῳ τινὶ πάντως τὸ ἐνεργεῖν καταδέχεται, καὶ ψευδὴς κατ' αὐτοὺς ὁ λέγων, ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται.

Εἰ δὲ τούτῳ μέν ἐστιν ἡ πρὸς τὸ ἐνεργεῖν ὁρμή, ὑπερκειμένη δέ τις ἐξουσία κωλύει τὴν πρόθεσιν, εἰπάτωσαν τὴν αἰτίαν τοῦ ταῦτα κωλύοντος. φθόνῳ τῆς ἐκ τῶν ἔργων δόξης, ὡς ἂν μὴ καὶ εἰς ἄλλον διαβαίη τῶν κατορθωμάτων τὸ θαῦμα ἢ τῷ μὴ καταπιστεύειν τῇ συνεργίᾳ, ὡς ἐπὶ λύμῃ τοῦ παντὸς ἐσομένης αὐτοῦ τῆς ἐργασίας; πάντως γὰρ τῶν τοιούτων ὑπολήψεων καὶ τὰς αἰτίας ἡμῖν οἱ σοφοὶ οὗτοι διασαφήσουσιν. εἰ δὲ οὔτε φθόνος τῆς θείας ἅπτεται φύ-
1317 M. σεως οὔτε τι σφάλμα περὶ τὴν ἄπταιστον φύσιν ἐπινοεῖται, τί βούλεται αὐτοῖς ἡ μικροπρέπεια τῶν νοημάτων ἡ τῆς δημιουργικῆς αἰτίας ἀφορίζουσα τὴν τοῦ πνεύματος δύναμιν, δέον ταῖς ὑψηλοτέραις τῶν ἐννοιῶν ἀφιέναι μὲν τὰ ταπεινὰ καὶ ἀνθρώπινα τῶν νοημάτων, λογισμὸν δὲ λαβεῖν τοῦ ὕψους τῶν ζητουμένων ἐπάξιον· ὅτι οὔτε ὁ ἐπὶ πάντων θεὸς συνεργίας τινὸς χρῄζων διὰ τοῦ υἱοῦ τὰ πάντα ἐποίησεν οὔτε ὁ μονογενὴς θεὸς ἐλάττονα τῆς προθέσεως τὴν δύναμιν ἔχων ἐν τῷ ἁγίῳ πνεύματι τὰ πάντα

4 Hebr 1, 2   14 I Cor 12, 5   23 Plat Tim 29 c

S D v 8 εἰ S: ἢ v   21 παντὸς S: παρόντος v   31 θεὸς S: υἱὸς v (cf Ad Eust p 16, 14; Ad Theoph p 51, 13)

ἐργάζεται. ἀλλὰ πηγὴ μὲν δυνάμεώς ἐστιν ὁ πατήρ, δύναμις δὲ τοῦ πατρὸς ὁ υἱός, δυνάμεως δὲ πνεῦμα τὸ πνεῦμα τὸ ἅγιον· ἡ δὲ κτίσις πᾶσα ὅση τε αἰσθητὴ καὶ ὅση ἀσώματος τῆς θείας δυνάμεώς ἐστιν ἀποτέλεσμα. καὶ ἐπειδὴ πόνος οὐδεὶς ἐν τῇ συστάσει τῶν περὶ τὴν θείαν φύσιν ὑπονοεῖται (ὁμοῦ γὰρ τῷ προελέσθαι τὸ γενέσθαι δέον εὐθὺς οὐσία ἡ πρόθεσις γίνεται), πᾶσαν τὴν διὰ τῆς κτίσεως ὑποστᾶσαν φύσιν, θελήματος κίνησιν καὶ προθέσεως ὁρμὴν καὶ δυνάμεως διάδοσιν, εἰκότως ἄν τις προσαγορεύσειεν ἐκ πατρὸς ἀρχομένην καὶ δι' υἱοῦ προϊοῦσαν καὶ ἐν πνεύματι ἁγίῳ τελειουμένην.

Ταῦτα ἡμεῖς ἰδιωτικῶς καὶ κατὰ τὸν συνήθη τρόπον ἡμῖν ἐννοοῦντες τὰ σοφὰ ταῦτα τῶν ἀνθυποφερόντων οὐ προσιέμεθα πιστεύοντες καὶ ὁμολογοῦντες ἐν παντὶ πράγματι καὶ νοήματι ἐγκοσμίῳ τε καὶ ὑπερκοσμίῳ καὶ τοῖς ἐν χρόνῳ καὶ τοῖς προαιωνίοις μετὰ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον καταλαμβάνεσθαι μήτε βουλήματος μήτε ἐνεργείας μήτε ἄλλου τινὸς τῶν κατὰ τὸ ἀγαθὸν εὐσεβῶς νοουμένων ἀπολειπόμενον· καὶ διὰ τοῦτο ἐκτὸς τῆς κατὰ τάξιν καὶ ὑπόστασιν διαφορᾶς ἐν οὐδενὶ τὸ παρηλλαγμένον καταλαμβάνομεν, ἀλλὰ τρίτον μὲν τῇ ἀκολουθίᾳ φαμὲν μετὰ πατέρα καὶ υἱὸν ἀριθμεῖσθαι, τρίτον δὲ καὶ τῇ τάξει τῆς παραδόσεως· ἐν δὲ τοῖς λοιποῖς πᾶσιν ἀχώριστον τὴν συνάφειαν ὁμολογοῦντες ἐν φύσει καὶ ἐν τιμῇ καὶ ἐν θεότητι καὶ δόξῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ ἐπὶ πάντων ἐξουσίᾳ καὶ τῇ εὐσεβεῖ ὁμολογίᾳ. περὶ δὲ λατρείας καὶ προσκυνήσεως καὶ ὅσα τοιαῦτα μικρολογοῦντες προφέρουσιν οἱ σοφοὶ παρ' ἑαυτοῖς, ἐκεῖνα λέγομεν, ὅτι πάντων τῶν παρ' ἡμῖν γινομένων ἐκ προαιρέσεως ἀνθρωπίνης ὑψηλότερόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἡ προσκύνησις ἡμῶν ταπεινοτέρα ἐστὶ τῆς χρεωστουμένης τιμῆς καί, εἴ τι ἄλλο ἡ ἀνθρωπίνη συνήθεια τίμιον ἔχει, κάτω που τῆς ἀξίας ἐστὶ τοῦ πνεύματος· τὸ γὰρ τῇ φύσει ἀμέτρητον μεῖζόν ἐστι τῶν ἀπὸ μικρᾶς καὶ περιγεγραμμένης καὶ εὐτελοῦς δυνάμεως τὰ κατὰ δύναμιν αὐτῷ δωροφο-

S D v 30 τῆς om v

ρούντων. ταῦτα μὲν οὖν φαμεν πρὸς τοὺς συντιθεμένους τῇ εὐσεβεστέρᾳ περὶ τοῦ ἁγίου πνεύματος ὑπολήψει, ὅτι τε θεῖόν ἐστι καὶ φύσεως θείας.

Εἰ δέ τις ἀθετοίη τὴν φωνὴν ταύτην καὶ τὴν διάνοιαν τὴν τῷ ὀνόματι τῆς θειότητος συνεμφαινομένην, λέγοι δὲ τὸ παρὰ τῶν πολλῶν ἐπὶ καθαιρέσεως τῆς τοῦ πνεύματος 1320 M. μεγαλωσύνης περιφερόμενον, ὅτι οὐχὶ τῶν ποιούντων, ἀλλὰ τῶν ποιηθέντων ἐστὶ καὶ οὐχὶ τῆς θείας, ἀλλὰ τῆς κτιστῆς φύσεως εἶναι προσήκει νομίζειν, τοῦτον τὸν λόγον ἀποκρινούμεθα· ὅτι τοὺς οὕτως ἔχοντας ἐν Χριστιανοῖς ἀριθμεῖν οὐκ ἐμάθομεν. ὥσπερ γὰρ ἄνθρωπον οὐκ ἄν τις προσείποι τὸ ἀτελεσφόρητον ἔμβρυον, ἀλλὰ δυνάμενον εἴπερ ἐτελεσφορήθη εἰς ἀνθρώπου γένεσιν προελθεῖν, ἕως δ᾽ ἂν ἐν τῷ ἀτελεῖ ᾖ, ἄλλο τί ἐστι καὶ οὐκ ἄνθρωπος· οὕτως τὸν μὴ δι᾽ ὅλου τοῦ μυστηρίου τὴν ἀληθῆ μόρφωσιν τῆς εὐσεβείας δεξάμενον Χριστιανὸν οὐκ οἶδεν ὁ λόγος. ἔστι γὰρ καὶ Ἰουδαίων ἀκούειν θεὸν ὁμολογούντων καὶ θεὸν τὸν ἡμέτερον. συντίθεται αὐτοῖς ἐν τῷ εὐαγγελίῳ καὶ ὁ κύριος, ὅτι οὐκ ἄλλον νομίζουσι θεὸν ἢ τὸν πατέρα τοῦ μονογενοῦς, Ὃν ὑμεῖς, φησίν, λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν. ἆρ᾽ οὖν Χριστιανοὺς ὀνομαστέον τοὺς Ἰουδαίους, ὅτι τὸν παρ᾽ ἡμῶν προσκυνούμενον καὶ αὐτοὶ σέβειν ὁμολογοῦσιν; οἶδα καὶ Μανιχαίους τὸ ὄνομα τοῦ Χριστοῦ περιφέροντας. τί οὖν; ἐπειδὴ σεβάσμιον παρὰ τούτοις τὸ παρ᾽ ἡμῶν προσκυνούμενον ὄνομα, διὰ τοῦτο καὶ αὐτοὺς ἐν Χριστιανοῖς ἀριθμήσομεν; οὕτως καὶ ὁ τὸν πατέρα μὲν ὁμολογῶν καὶ τὸν υἱὸν παραδεχόμενος, ἀθετῶν δὲ τὴν μεγαλωσύνην τοῦ πνεύματος, ἤρνηται τὴν πίστιν καί ἐστιν ἀπίστου χείρων καὶ τῆς ἐπωνυμίας τοῦ Χριστιανοῦ καταψεύδεται. ἄρτιον εἶναι κελεύει τὸν τοῦ θεοῦ ἄνθρωπον ὁ ἀπόστολος. ἄρτιον δ᾽ ἂν εἴη ἐπὶ μὲν τοῦ κοινοῦ ἀνθρώπου τὸ παντὶ λόγῳ συμπεπληρωμένον τῆς φύσεως· λογικὸν [τε] γὰρ εἶναι χρή, νοῦ καὶ ἐπιστήμης δεκτικόν,

19 Joh. 8, 54 29 II Tim3, 17

S D v 12 δύναμιν v 32 τε S D v seclusi

ζωῆς μετέχον, ὄρθιον τῷ σχήματι, γελαστικόν, πλατυώνυχον· εἰ δὲ ὀνομάζοι μέν τις ἄνθρωπον, τὰ δὲ εἰρημένα σημεῖα τῆς φύσεως μὴ ἔχοι ἐπὶ τούτου παρέχεσθαι, μάτην ἐτίμησε τῷ προσρήματι. οὕτω καὶ ὁ Χριστιανὸς τῇ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πίστει χαρακτηρίζεται· αὕτη ἐστὶν ἡ μορφὴ τοῦ κατὰ τὸ μυστήριον τῆς ἀληθείας μεμορφωμένου. εἰ δὲ ἑτέρως ἡ μορφὴ διακειμένη τύχῃ, οὐχ ἐπιγνώσομαι τοῦ ἀμόρφου τὴν φύσιν· σύγχυσίς ἐστι τοῦ χαρακτῆρος καὶ τῆς κατὰ φύσιν μορφῆς ἀλλοτρίωσις καὶ παραλλαγὴ τῶν γνωριστικῶν σημείων τῆς ἀνθρωπότητος, ὅταν μὴ συμπαραληφθῇ τῇ πίστει τὸ πνεῦμα τὸ ἅγιον. ἀληθεύει γὰρ τοῦ Ἐκκλησιαστοῦ ὁ λόγος· ὅτι οὗτος οὐχὶ ζῶν ἐστιν ἄνθρωπος, ἀλλὰ Ὀστᾶ, καθὼς ἐκεῖνος φησίν, ἐν τῇ γαστρὶ τῆς κυοφορούσης. πῶς γὰρ ὁμολογήσει Χριστὸν ὁ μὴ συνεπινοῶν τῷ χρισθέντι τὸ χρίσμα; Τοῦτον ἔχρισε, φησίν, ὁ θεὸς ἐν πνεύματι ἁγίῳ.

Εἰπάτωσαν οὖν ἡμῖν οἱ καθαιροῦντες τὴν τοῦ πνεύματος δόξαν καὶ τῇ ὑποχειρίῳ φύσει συγκατατάσσοντες, τίνος σύμβολόν ἐστιν ἡ χρίσις. οὐχὶ τῆς βασιλείας; τί δαί; οὐχὶ φύσει βασιλέα τὸν μονογενῆ πεπιστεύκασιν; οὐκ ἀντεροῦσι πάντως οἵ γε μὴ καθάπαξ τῷ Ἰουδαϊκῷ καλύμματι τὴν καρδίαν περιεχόμενοι. εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ υἱός, βασιλείας δὲ σύμβολόν ἐστι τὸ χρίσμα, τί σοι διὰ τῆς ἀκολουθίας ὁ λόγος ἐνδείκνυται; ὅτι οὐκ ἀλλότριόν τί ἐστι τοῦ κατὰ φύσιν βασιλέως τὸ χρίσμα οὐδὲ ὡς ξένον τι καὶ
1321 M. ἀλλόφυλον τῇ ἁγίᾳ τριάδι τὸ πνεῦμα συντέτακται. βασιλεὺς μὲν γὰρ ὁ υἱός· βασιλεία δὲ ζῶσα καὶ οὐσιώδης καὶ ἐνυπόστατος τὸ πνεῦμα τὸ ἅγιον, ᾗ χρισθεὶς ὁ μονογενὴς Χριστός ἐστι καὶ βασιλεὺς τῶν ὄντων. εἰ οὖν βασιλεὺς ὁ πατήρ, βασιλεὺς δὲ ὁ μονογενής, βασιλεία δὲ τὸ πνεῦμα τὸ ἅγιον, εἷς πάντως τῆς βασιλείας ἐπὶ τῆς τριάδος ὁ λόγος. ἡ δὲ τῆς χρίσεως ἔννοια τὸ μηδὲν εἶναι διάστημα μεταξὺ τοῦ υἱοῦ

12 Eccl 11, 5 15 Act 10, 38

S D v 19 δαί S: δέ v

καὶ τοῦ ἁγίου πνεύματος δι' ἀπορρήτων αἰνίσσεται· ὡς γὰρ μεταξὺ τῆς τοῦ σώματος ἐπιφανείας καὶ τῆς τοῦ ἐλαίου χρίσεως οὐδὲν ἐπινοεῖ μέσον οὔτε ὁ λόγος οὔτε ἡ αἴσθησις, οὕτως ἀδιάστατός ἐστι πρὸς τὸ πνεῦμα τὸ ἅγιον τῷ υἱῷ ἡ συνάφεια, ὥστε τῷ μέλλοντι αὐτοῦ διὰ τῆς πίστεως ἅπτεσθαι ἀναγκαῖον εἶναι προεντυγχάνειν διὰ τῆς ἁφῆς τῷ μύρῳ· οὐ γάρ ἐστί τι μέρος ὃ γυμνόν ἐστι τοῦ ἁγίου πνεύματος. διὰ τοῦτο ἡ ὁμολογία τῆς τοῦ υἱοῦ κυριότητος ἐν πνεύματι ἁγίῳ τοῖς καταλαμβάνουσι γίνεται πάντοθεν τοῖς διὰ πίστεως προσεγγίζουσι προαπαντῶντες τοῦ πνεύματος. εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ υἱός, ἀξίωμα δὲ βασιλείας τὸ πνεῦμα τὸ ἅγιον, ᾧ υἱὸς χρίεται, τίς ἐπινοεῖται τῆς βασιλείας ἡ κατὰ τὴν φύσιν πρὸς ἑαυτὴν ἀλλοτρίωσις;

Ἔπειτα καὶ τοῦτο σκοπήσωμεν· ἡ βασιλεία ἐν τῇ τῶν ὑποχειρίων ἀρχῇ πάντως γνωρίζεται. τί οὖν τῆς βασιλευούσης φύσεώς ἐστι τὸ ὑπήκοον; τοὺς αἰῶνας πάντως καὶ τὰ ἐν τούτοις ὁ λόγος καταλαμβάνει· Ἡ γὰρ βασιλεία σου, φησίν, βασιλεία πάντων τῶν αἰώνων. αἰῶνας δὲ λέγων πᾶσαν ἐκ τοῦ περιέχοντος τὴν ἐν αὐτοῖς συστᾶσαν κτίσιν περιλαμβάνει τήν τε ὁρατὴν καὶ ἀόρατον· ἐν αὐτοῖς γὰρ ἐκτίσθη τὰ πάντα διὰ τοῦ ποιητοῦ τῶν αἰώνων. εἰ οὖν ἡ βασιλεία πάντοτε μετὰ τοῦ βασιλέως νοεῖται, ἡ δὲ ὑποχείριος φύσις ἄλλο τι παρὰ τὴν ἄρχουσαν ὁμολογεῖται, τίς ἡ ἀτοπία τῶν ἑαυτοῖς μαχομένων, τῶν προστιθέντων μὲν τὸ χρίσμα τῷ κατὰ φύσιν βασιλεῖ ὡς ἀξίωμα, καταγόντων δὲ αὐτὸ τοῦτο εἰς τὴν ὑποχείριον τάξιν ὡς τῆς ἀξίας καταδεέστερον; εἰ μὲν γὰρ τῶν ὑπηκόων κατὰ τὴν φύσιν ἐστίν, πῶς τῷ τῆς βασιλείας ἀξιώματι τοῦ μονογενοῦς συναρμόζεται χρίσμα βασιλείας γινόμενον; εἰ δὲ τὸ ἡγεμονικὸν αὐτοῦ διὰ τοῦ συμπαραληφθῆναι εἰς τὴν τῆς βασιλείας μεγαλοπρέπειαν δείκνυται, τίς ἡ ἀνάγκη καθαιρεῖσθαι πάντα εἰς ἰδιωτικήν τε καὶ δουλικὴν ταπεινότητα τῇ δουλευούσῃ κτίσει συναριθμούμενον; οὐ γὰρ δὴ τὰ δύο περὶ αὐτοῦ λέγοντα δυνατόν

17 Ps 145, 13

S D v 18 πάντων τῶν om v 19 συστάσεως v

ἐστιν ἐν ἑκατέρῳ τἀληθῆ λέγειν, ὅτι καὶ ἡγεμονικόν ἐστι καὶ ὑποχείριον. εἰ μὲν γὰρ ἡγεῖται, οὐ κυριεύεται· εἰ δὲ δουλεύει, οὐκέτι μετὰ τῆς βασιλευούσης φύσεως καταλαμβάνεται. ὡς γὰρ μετὰ ἀνθρώπων ἄνθρωποι καὶ μετὰ ἀγγέλων ἄγγελοι καὶ πάντα μετὰ τῶν ὁμοφύλων ἐπιγινώσκεται, οὕτω μεθ' ἑνὸς ἑκατέρων ὁμολογεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον ἀναγκαῖόν ἐστιν ἢ μετὰ τῆς κυριεύουσης ἢ μετὰ τῆς ὑποκυπτούσης φύσεως. μέσον γὰρ τούτων ἐπιγινώσκει ὁ λόγος οὐδέν, ὥστε τινὰ φύσεως ἰδιότητα ἐν μεθορίῳ τοῦ τε κτιστοῦ καὶ τοῦ ἀκτίστου καινοτομηθεῖσαν μεταξὺ τούτων εἶναι νομίζεσθαι, 1324 M. ὡς καὶ ἀμφοτέρων μετέχειν καὶ οὐθέτερον τελείως εἶναι. οὐδὲ γὰρ ἐνδέχεται μίξιν τινὰ τῶν ἐναντίων καὶ συμπλοκὴν ἐννοῆσαι τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον συνανακιρναμένων καὶ δύο τῶν ἐναντίων εἰς μίαν ὑπόστασιν συμμιγνυμένων· ὡς μὴ μόνον σύνθετον εἶναι τὸ διὰ τῆς ἀλλοκότου ταύτης μίξεως ἀναπλασσόμενον, ἀλλὰ καὶ ἐξ ἀνομοίων ἔχον τὴν σύνθεσιν καὶ κατὰ τὸν χρόνον οὐ συμφωνούντων· τοῦ γὰρ ἀκτίστως ὑφεστῶτος τὸ διὰ κτίσεως τὴν ὑπόστασιν ἔχον μεταγενέστερον πάντως ἐστίν, εἰ οὖν μεμίχθαι τὴν τοῦ πνεύματος φύσιν πρὸς ἑκάτερα λέγουσιν, ἄρα καὶ τοῦ πρεσβυτέρου πρὸς τὸ νεώτερον μίξιν τινὰ ἐννοήσουσι· καὶ ἔσται κατ' αὐτοὺς ἑαυτοῦ τι πρεσβύτερον καὶ ἑαυτοῦ τι πάλιν μεταγενέστερον, ὡς καὶ τῷ ἀκτίστῳ τὸ ἀρχαιότερον ἔχειν καὶ τῷ κτιστῷ τὸ νεώτερον. ἐπεὶ οὖν τοῦτο φύσιν οὐκ ἔχει, ἀνάγκη πάντως τὸ ἕτερον τούτων ἐπὶ τοῦ πνεύματος ἀληθὲς εἶναι λέγειν, ὅπερ ἐστὶ τὸ ἄκτιστον.

Καὶ γὰρ κἀκεῖνο ὅσην ἔχει τὴν ἀτοπίαν σκοπήσωμεν. πάντων τῶν ἐν τῇ κτίσει νοουμένων κατ' αὐτὸ τοῦτο, τὸ διὰ κτίσεως ἐσχηκέναι τὸ εἶναι, τὴν ὁμοτιμίαν ἐχόντων, τίς ἡ αἰτία ἡ τὸ πνεῦμα τῶν λοιπῶν ἀποκρίνουσα εἰς τὸ <τῷ> πατρὶ καὶ τῷ υἱῷ συνταχθῆναι; εὑρίσκεται γὰρ ἐκ τῆς ἀκολουθίας τοῦ λόγου οὐκ ὂν ἐκ τῆς κτίσεως τὸ τῇ ἀκτίστῳ συνθεωρούμενον φύσει· ἢ εἰ ἐντεῦθεν εἴη, μηδὲν πλέον τῆς ὁμοφύλου ἰσχύειν κτίσεως μηδὲ δύνασθαι τῇ ὑπερκειμένῃ συναρμόζεσθαι φύσει.

S D v 30 τῷ add Jaeger

εἰ δὲ λέγοιεν καὶ κτιστὸν εἶναι καὶ ὑπὲρ τὴν κτίσιν δύνασθαι, πάλιν εὑρίσκεται αὐτὴ πρὸς ἑαυτὴν ἡ κτιστὴ στασιάζουσα φύσις καὶ μεριζομένη πρὸς τὸ κρατοῦν τε καὶ ὑποχείριον ὡς τὸ μὲν εὐεργετεῖν, τὸ δὲ εὐεργετεῖσθαι καὶ τὸ μὲν ἁγιάζειν, τὸ δὲ ἁγιάζεσθαι· καὶ πάντα ὅσα παρὰ τοῦ ἁγίου πνεύματος χορηγεῖσθαι τῇ κτίσει πεπίστευται, ἐκείνῳ μὲν παρεῖναι πλουσίως πηγάζοντα καὶ εἰς ἄλλους ὑπερχεόμενα, τὴν δὲ κτίσιν ἐπιδεᾶ τῆς ἐκεῖθεν ἀναδιδομένης εὐεργεσίας καὶ χάριτος καθεστάναι καὶ ἐκ μετουσίας δέχεσθαι τὴν τῶν ἀγαθῶν κοινωνίαν τῶν ἐκ τοῦ ὁμογενοῦς προχεομένων. ἀποκληρώσει γὰρ ὅμοιον καὶ προσωποληψίᾳ τὸ τοιοῦτόν ἐστι μηδεμιᾶς ἐν τῇ φύσει προτιμήσεως οὔσης μὴ τὰ αὐτὰ δύνασθαι τὰ κατ᾽ οὐδὲν ἀλλήλων ἐν τῷ εἶναι τὴν διαφορὰν ἔχοντα. ἅπερ οὐδένα οἶμαι τῶν εὖ φρονούντων συνομολογεῖν· ἢ γὰρ οὐ παρέχει τοῖς ἄλλοις, εἴπερ οὐ φυσικῶς ἔχει, ἢ εἴπερ διδόναι πεπίστευται, τὸ ἔχειν πάντως προωμολόγηται. τοῦτο δὲ μόνης τῆς θείας φύσεως ἴδιόν ἐστι καὶ ἐξαίρετον τὸ παρεκτικὸν ἀγαθῶν εἶναι, αὐτὸ δὲ μηδενὸς ἐπεισάκτου προσδέεσθαι.

Ἔπειτα καὶ τοῦτο σκοπήσωμεν. τῷ ἁγίῳ βαπτίσματι — τί διὰ τούτου πραγματευόμεθα; ἆρ᾽ οὐχὶ τὸ ζωῆς μετέχειν οὐκέτι θανάτῳ ὑποκειμένης; οὐδένα <ἂν> ἀντειπεῖν οἶμαι τῷ λόγῳ τόν γε καὶ ὁπωσοῦν ἐν Χριστιανοῖς ἀριθμούμενον. τί οὖν; ἆρ᾽ ἐν τῷ ὕδατι ἡ ζωοποιός ἐστι δύναμις τῷ συμπαραλαμβανομένῳ πρὸς τὴν τοῦ βαπτίσματος χάριν· ἢ παντὶ δῆλον ὅτι τοῦτο μὲν τῆς σωματικῆς ἕνεκεν διακονίας
1325 M. παρείληπται οὐδὲν παρ᾽ ἑαυτοῦ πρὸς τὸν ἁγιασμὸν εἰσφερόμενον, εἰ μὴ μεταποιηθείη διὰ τοῦ ἁγιάσματος· τὸ δὲ ζωοποιοῦν τοὺς βαπτιζομένους τὸ πνεῦμά ἐστι, καθώς φησιν ὁ κύριος περὶ αὐτοῦ τοῦτο λέγων τῇ ἰδίᾳ φωνῇ ὅτι Τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν. ζωοποιεῖ δὲ οὐκ αὐτὸ μόνον εἰς τὴν τελείωσιν τῆς χάριτος ταύτης διὰ τῆς πίστεως λαμβανόμενον, ἀλλὰ χρὴ τὴν εἰς τὸν κύριον προϋποκεῖσθαι πίστιν, δι᾽ ἧς ἡ ζωτικὴ χάρις τοῖς πιστεύσασι παραγίνεται, καθὼς

30 Joh 6, 63

S D v 20 πραγματευόμενοι libri v, correxi 21 ἂν add Jaeger

εἴρηται παρὰ τοῦ κυρίου ὅτι Οὓς θέλει ζωοποιεῖ. ἀλλ' ἐπειδὴ καὶ ἡ διὰ τοῦ υἱοῦ διακονουμένη χάρις ἤρτηται τῆς ἀγεννήτου πηγῆς, διὰ τοῦτο προηγεῖσθαι τὴν εἰς τὸ ὄνομα τοῦ πατρὸς πίστιν ὁ λόγος διδάσκει τοῦ ζωογονοῦντος τὰ πάντα, καθώς φησιν ὁ ἀπόστολος, ὡς ἂν ἐκεῖθεν ἀφορμηθεῖσαν τὴν ζωοποιὸν χάριν καθάπερ ἐκ πηγῆς τινος τὴν ζωὴν πηγαζούσης διὰ τοῦ μονογενοῦς υἱοῦ, ὅς ἐστιν ἡ ἀληθὴς ζωή, τῇ ἐνεργείᾳ τοῦ πνεύματος τελειοῦσθαι τοῖς ἀξιουμένοις. εἰ οὖν ἡ ζωὴ διὰ τοῦ βαπτίσματος, τὸ δὲ βάπτισμα ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου τὴν τελείωσιν ἔχει, τί λέγουσιν οἱ τὸ παρεκτικὸν τῆς ζωῆς ἀντ' οὐδενὸς λογιζόμενοι; εἰ γὰρ μικρὰ ἡ χάρις, εἰπάτωσαν τὸ τῆς ζωῆς τιμιώτερον. εἰ δὲ πᾶν ὅτιπέρ ἐστι τίμιον τῆς ζωῆς ἐστι δεύτερον, ἐκείνης λέγω τῆς ὑψηλῆς καὶ τιμίας, ἧ κατ' οὐδὲν ἐπικοινωνεῖ ἡ ἄλογος φύσις, πῶς τολμῶσι τὸ τηλικοῦτον χάρισμα, μᾶλλον δὲ αὐτὸ τὸ παρεκτικὸν τοῦ χαρίσματος κατασμικρύνειν ταῖς ἑαυτῶν ὑπολήψεσι καὶ κατασπᾶν εἰς τὴν ὑποχείριον φύσιν <τῆς> θείας τε καὶ ὑψηλῆς διαζεύξαντες; εἶτα καὶ εἰ μικρὸν τὸ τῆς ζωῆς λέγουσι χάρισμα, ὡς μηδὲν διὰ τούτου σεμνόν τε καὶ μέγα τῇ φύσει τοῦ χαριζομένου ἐμφαίνεσθαι, πῶς οὐ λογίζονται τὸ ἀκόλουθον, ὅτι ὁ αὐτὸς ἀναγκάσει λόγος καὶ περὶ τοῦ μονογενοῦς καὶ περὶ αὐτοῦ τοῦ πατρὸς μηδὲν ὑποτίθεσθαι μέγα τῆς αὐτῆς ζωῆς, ἣν διὰ τοῦ πνεύματος ἔχομεν, διὰ τοῦ υἱοῦ παρὰ τοῦ πατρὸς χορηγουμένης;

Ὥστε εἰ μικρὸν ὑπολαμβάνουσι τὸ δῶρον οἱ καὶ τῆς ζωῆς ἑαυτῶν ὑβρισταὶ καὶ πολέμιοι καὶ διὰ τοῦτο τὸ παρεκτικὸν τῆς χάριτος ταύτης ἀτιμάζειν ἐγνώκασι, μὴ λανθανέτωσαν οὐχ ἑνὶ προσώπῳ τὴν ἀχαριστίαν περιορίζοντες, ἀλλὰ διὰ τοῦ ἁγίου πνεύματος ἐπὶ τὴν ἁγίαν τριάδα τὴν βλασφημίαν ἐκτείνοντες. ὥσπερ γὰρ ἡ χάρις ἀδιασπάστως ἀπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐπὶ τοὺς ἀξίους ῥέουσα φέρεται, οὕτως καὶ ἡ βλασφημία εἰς τὸ

1 Joh 5, 21 4 I Tim 6, 13

S D v 7 ὁ ante διὰ add, sed rursus eras S 18 τῆς addidi

ἔμπαλιν κατὰ διάδοσιν ἀναλύουσα ἀπὸ τοῦ πνεύματος διὰ τοῦ υἱοῦ ἐπὶ τὸν τῶν ὅλων θεὸν διεξέρχεται. εἰ γὰρ δι' ἀνθρώπου ἀθετηθέντος ὁ ἀποστείλας ἠθέτηται, καίτοι πόσον τὸ μέσον, μεταξὺ τοῦ ἀνθρώπου καὶ τοῦ ἀποστείλαντος, τί χρὴ λέγειν, ἡλίκην ὑποσημαίνει κατάκρισιν τοῖς κατατολμῶσι τοῦ πνεύματος; τάχα διὰ τοῦτο ἀσυγχώρητον κρῖμα κατὰ τῆς τοιαύτης βλασφημίας παρὰ τοῦ νομοθέτου κεκύρωται, ἐπειδὴ πᾶσα δι' αὐτοῦ ἡ μακαρία τε καὶ θεία φύσις ἐν τῇ προαιρέσει τοῦ βλασφημοῦντος συγκαθυβρίζεται. ὥσπερ γὰρ ὁ εὐσεβῶς τὸ πνεῦμα δεξάμενος εἶδεν ἐν τῷ πνεύματι τοῦ
1328 M. μονογενοῦς τὴν δόξαν, τὸν δὲ υἱὸν ἰδὼν τὴν εἰκόνα εἶδε τοῦ ἀορίστου καὶ διὰ τῆς εἰκόνος ἐνετυπώσατο τῇ γνώμῃ ἑαυτοῦ τὸ ἀρχέτυπον, οὕτω δηλαδὴ καὶ ὁ κατα † μένος καὶ καταφρονητής, ἐπειδὰν ἀποθρασύνηταί τι κατὰ τῆς δόξης τοῦ πνεύματος, διὰ τῆς αὐτῆς ἀκολουθίας ἐπὶ τὸν πατέρα διὰ τοῦ υἱοῦ τὴν βλασφημίαν ἐξέτεινεν. οὐκοῦν φοβητέον τοῖς γε νοῦν ἔχουσι μὴ κατατολμᾶν τῆς τοιαύτης θρασύτητος, ἧς τὸ πέρας παντελής ἐστιν ἀφανισμὸς τοῦ τολμήσαντος· ἀλλ' ὅση δύναμις, ὑψοῦν μὲν τῷ λόγῳ τὸ πνεῦμα, ὑψοῦν δὲ καὶ πρὸ τοῦ λόγου κατὰ διάνοιαν· οὐ γὰρ δυνατόν ἐστι συναναβῆναι τῇ διανοίᾳ τὸν λόγον. καὶ ἐπειδὰν ἐπὶ τὸ ἀκρότατον φθάσῃς τῆς ἀνθρωπίνης δυνάμεως, εἰς ὅσον ὁ ἀνθρώπινος νοῦς ἐξικνεῖται ὕψος καὶ μέγεθος νοημάτων, τότε νόμιζε κάτω εἶναι τῆς ἐπιβαλλούσης ἀξίας κατὰ τὸ εἰρημένον ἐν τῇ ψαλμῳδίᾳ ὅτι Μετὰ τὸ ὑψῶσαι κύριον τὸν θεὸν ἡμῶν, τότε μόγις προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· τό τε αἴτιον τῆς ἀκαταλήπτου ἀξίας οὐδὲν ἄλλο φησὶν ἢ ὅτι ἅγιός ἐστιν.

Εἰ οὖν πᾶν ὕψωμα δυνάμεως ἀνθρωπίνης κάτω τῆς μεγαλοπρεπείας τοῦ προσκυνουμένου ἐστί (τοῦτο γὰρ ὁ λόγος διὰ τοῦ ὑποποδίου τῶν ποδῶν ὑπαινίσσεται), τίς ἡ ματαιότης

6 Matth 12, 32 24 Ps 98, 5

S D v 1 τοῦ πνεύματος διὰ om v 4 τοῦ post καὶ om v 7 παρὰ D v: κατὰ S 12 γνώμῃ Jaeger: γνώσει libri v 13 κατα . . . μένος S v: καταγνωσμένος D

τῶν οἰομένων ἔχειν τινὰ δύναμιν ἐν ἑαυτοῖς τοσαύτην ὥστε ἐπ' αὐτοῖς εἶναι τὸ κατ' ἀξίαν τῆς τιμῆς ὁρίζειν τῇ ἀτιμήτῳ φύσει καὶ διὰ τοῦτο καί τινων τῶν εἰς τιμὴν ἐπινοουμένων ἀνάξιον κρίνειν τὸ πνεῦμα τὸ ἅγιον ὡς τῆς δυνάμεως αὐτῶν μεῖζον δυναμένης ἢ ὅσον χωρεῖ ἡ ἀξία τοῦ πνεύματος; ὢ τῆς ἐλεεινῆς αὐτῶν καὶ ταλαιπώρου παραπληξίας, τῶν μὴ συνιέντων αὐτοί τε τίνες εἰσὶν οἱ ταῦτα διαλεγόμενοι καὶ τί τὸ πνεῦμα τὸ ἅγιον, ᾧ δι' ὑπερηφανίας ἑαυτοὺς ἀντεξάγουσιν! τίς <ἂν> εἴποι τοῖσδε <τοῖς> λαοῖς ὅτι ἄνθρωποί εἰσι πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον ἐν μήτρᾳ γυναικός, διὰ ῥυπαρᾶς συλλήψεως οἰκοδομούμενοι καὶ εἰς γῆν ῥυπαρὰν πάντες ἀναλυόμενοι, χόρτῳ προσεικασμένην τὴν ζωὴν λαχόντες, οἳ ἐπ' ὀλίγον διὰ τῆς βιωτικῆς ἀπάτης ἀνθήσαντες πάλιν ἀποξηραίνονται, καὶ τὸ ἄνθος περὶ αὐτοὺς καταρρυὲν ἀφανίζεται, οὔτε τι ὄντες πρὸ τῆς γενέσεως καὶ εἰς ὅ τι μεταχωρήσουσιν οὐκ ἀκριβῶς ἐπιστάμενοι, τῆς ψυχῆς τὴν ἰδίαν λῆξιν, ἕως ἂν ἐπιμένῃ τῇ σαρκί, ἀγνοούσης; ταῦτα οἱ ἄνθρωποι.

Τὸ δὲ πνεῦμα τὸ ἅγιον πρῶτον μὲν ἀπὸ τῶν κατὰ φύσιν ἁγίων ἐκεῖνό ἐστιν ὅπερ ὁ πατήρ, κατὰ φύσιν ἅγιος, καὶ ὁ μονογενὴς ὡσαύτως. οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ κατὰ τὸ ζωοποιὸν πάλιν καὶ κατὰ τὸ ἄφθαρτόν τε καὶ ἀναλλοίωτον καὶ ἀΐδιον, δίκαιον, σοφόν, εὐθές, ἡγεμονικόν, ἀγαθόν, δυνατόν, ἀγαθῶν πάντων παρεκτικὸν καὶ πρό γε ἁπάντων αὐτῆς τῆς ζωῆς· πανταχοῦ ὂν καὶ ἑκάστῳ παρὸν καὶ τὴν γῆν πληροῦν καὶ ἐν οὐρανοῖς μένον, ἐν ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἐκχεόμενον, πάντα πληροῦν κατὰ τὴν ἀξίαν ἑκάστου καὶ αὐτὸ πλῆρες μένον, μετὰ πάντων ὂν τῶν ἀξίων, καὶ τῆς ἁγίας τριάδος οὐ χωριζόμενον· ἀεὶ τὰ βάθη τοῦ θεοῦ
1329 M. ἐρευνᾷ, ἀεὶ ἐκ τοῦ υἱοῦ λαμβάνει καὶ ἀποστέλλεται καὶ οὐ χωρίζεται καὶ δοξάζεται καὶ δόξαν ἔχει· ὃ γὰρ ἄλλῳ δόξαν δίδωσιν, δῆλον ὅτι ἐν ὑπερβαλλούσῃ δόξῃ καταλαμβάνεται. πῶς γὰρ δοξάζει τὸ δόξης ἄμοιρον; ἐὰν μή τι φῶς ᾖ, πῶς τὴν τοῦ φωτὸς ἐπιδείξεται χάριν; οὕτως οὐδὲ τὴν δοξαστικὴν δύναμιν

10 sq cf Joh 3, 4 Hiob 34, 15 Ps 89, 5-6 Jes 51, 12

S D v 5 μεῖζον Jaeger: μείζονα libri v 9 ἂν et τοῖς add Jaeger 27 αὐτὸ Jaeger: αὐτὸν libri v

ἐπιδείξεται, ὃ ἂν μὴ αὐτὸ ᾖ δόξα καὶ τιμὴ καὶ μεγαλωσύνη καὶ μεγαλοπρέπεια. δοξάζει οὖν τὸν πατέρα καὶ τὸν υἱὸν τὸ πνεῦμα. ἀλλ᾽ ὁ εἰπὼν ἀψευδής ἐστι Τοὺς δοξάζοντάς με δοξάζω· Ἐγώ σε ἐδόξασα, φησὶ πρὸς τὸν πατέρα ὁ κύριος· καὶ πάλιν Δόξασόν με τῇ δόξῃ ᾗ εἶχον ἀπ᾽ ἀρχῆς παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον εἶναι. ἀποκρίνεται ἡ θεία φωνή· Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. ὁρᾷς τὴν ἐγκύκλιον τῆς δόξης διὰ τῶν ὁμοίων περιφοράν; δοξάζεται ὁ υἱὸς ὑπὸ τοῦ πνεύματος· δοξάζεται ὑπὸ τοῦ υἱοῦ ὁ πατήρ· πάλιν τὴν δόξαν ἔχει παρὰ τοῦ πατρὸς ὁ υἱὸς καὶ δόξα τοῦ πνεύματος ὁ μονογενὴς γίνεται· τίνι γὰρ ἐνδοξασθήσεται ὁ πατήρ, εἰ μὴ τῇ ἀληθινῇ τοῦ μονογενοῦς δόξῃ; ἐν τίνι δὲ πάλιν ὁ υἱὸς δοξασθήσεται, εἰ μὴ ἐν τῇ μεγαλωσύνῃ τοῦ πνεύματος; οὕτω πάλιν καὶ ἀνακυκλούμενος ὁ λόγος τὸν υἱὸν μὲν δοξάζει διὰ τοῦ πνεύματος, διὰ δὲ τοῦ υἱοῦ τὸν πατέρα.

Εἰ οὖν τοσαύτη τοῦ πνεύματος ἡ μεγαλωσύνη καὶ εἴ τι καλὸν καὶ εἴ τι ἀγαθὸν παρὰ τοῦ θεοῦ διὰ τοῦ μονογενοῦς ἐν τῷ πάντα ἐν πᾶσιν ἐνεργοῦντι πνεύματι τελειοῦται, τί ἐκπολεμοῦσιν ἑαυτοὺς τῇ ἰδίᾳ ζωῇ; τί ἀπαλλοτριοῦνται τῆς τῶν σῳζομένων ἐλπίδος; τί ἀποκόπτουσιν ἑαυτοὺς ἀπὸ τῆς πρὸς τὸν θεὸν προσκολλήσεως; πῶς γάρ τις προσκολληθήσεται τῷ κυρίῳ μὴ τοῦ πνεύματος τὴν συνάφειαν ἡμῶν πρὸς αὐτὸν ἐνεργοῦντος; τί ζυγομαχοῦσι πρὸς ἡμᾶς περὶ λατρείας καὶ προσκυνήσεως; τί κατειρωνεύονται διὰ τοῦ τῆς λατρείας ὀνόματος κατὰ τῆς θείας τε καὶ ἀπροσδεοῦς φύσεως ὥσπερ οὐχ ἑαυτοὺς εὐεργετοῦντες ἐν τοῖς ὑπὲρ τῆς σωτηρίας αἰτήμασι, ἀλλὰ τιμήν τινα προσάγοντες, ἐὰν σωθῆναι θελήσωσι; σὸν κέρδος ἐστὶ τοῦ αἰτοῦντος ἡ δέησις, οὐχὶ τιμὴ τοῦ παρέχοντος. τί οὖν ὡς χαριζόμενος πρόσει τῷ εὐεργέτῃ, μᾶλλον δὲ οὐδὲ εὐεργέτην τὸν τῶν ἀγαθῶν παρεκτικὸν ἀξιοῖς ὀνομάζειν; ἀλλὰ τοῦ ζῆν ἀντεχόμενος τὸν ζωοποιὸν ἀτιμάζεις καὶ τὸν ἁγιασμὸν ζητῶν παραλογίζῃ

3 I Reg 2, 30 4 Joh 17, 4 5 Joh 17, 5 6 Joh 12, 28

S D v 26 τῆς om v 29 πρόσῃ SD, † add v, correxi (cf p 110, 12)

τὸν τὴν χάριν τοῦ ἁγιασμοῦ διανέμοντα καὶ τὸ διδόναι τὰ ἀγαθὰ οὐκ ἀρνούμενος αὐτὸν ἔχειν τὴν δύναμιν τοῦ αἰτεῖσθαι κρίνεις ἀνάξιον, οὐδὲ τοῦτο λογιζόμενος, ὅσῳ μεῖζόν ἐστι τὸ δοῦναί τι ἀγαθὸν τοῦ αἰτηθῆναι· τῷ μὲν γὰρ αἰτηθέντι, οὐ πάντως προσμαρτυρεῖ τὸ μεγαλεῖον ἡ αἴτησις· δυνατὸν γάρ ἐστιν αἰτηθῆναί τι καὶ τὸν μὴ ἔχοντα. ἐπὶ γὰρ τῇ προαιρέσει τοῦ αἰτοῦντός ἐστιν· ὁ δὲ παρασχών τι ἀγαθὸν ἀναμφίβολον τῆς προσούσης αὐτῷ δυνάμεως πεποίηται τὴν ἐπίδειξιν. τί οὖν τὸ μεῖζον αὐτῷ προσμαρτυρῶν — λέγω δὲ τὸ δύνασθαι δοῦναι πᾶν ὅ τι καλόν — ὡς μεγάλου τινὸς ἀποστερεῖς τῆς αἰτήσεως, καίτοι τοῦτο πολλάκις, καθὼς εἴρηται, καὶ ἐπὶ τῶν οὐδενὸς κυρίων δι' ἀπάτης τοῦ προσιόντος γίνεται.
1332 M. αἰτοῦσι καὶ παρὰ τῶν εἰδώλων οἱ τῆς ματαιότητος δοῦλοι τὰ κατὰ γνώμην αὐτοῖς, ἀλλ' οὐ παρὰ τοῦτο δόξαν τινὰ προστίθησι τοῖς εἰδώλοις ἡ αἴτησις· κἀκεῖνοι δὲ δι' ἀπάτης αὐτοὺς παρέχοντες προσδοκίᾳ τοῦ μετασχεῖν τινος ὧν ἐλπίζουσιν αἰτοῦντες οὐ διαλείπουσιν. σὺ δὲ πεπεισμένος οἵων καὶ ὅσων παρεκτικόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον ὑπερορᾷς τῆς αἰτήσεως καὶ καταφεύγεις ἐπὶ τὸν νόμον τὸν κελεύοντα κύριον τὸν θεὸν προσκυνεῖν καὶ αὐτῷ μόνῳ λατρεύειν; πῶς οὖν αὐτῷ μόνῳ λατρεύσεις, εἰπέ μοι, ἀποσχίσας αὐτὸν τῆς πρὸς τὸν μονογενῆ καὶ τὸ πνεῦμα ἑαυτοῦ συναφείας; ἀλλ' αὕτη Ἰουδαϊκὴ ἡ προσκύνησις.

Ἀλλ' ἐρεῖς ὅτι πατέρα ἐννοῶν καὶ τὸν υἱὸν τῇ προσηγορίᾳ συμπεριέλαβον. τὸν δὲ υἱόν, εἰπέ μοι, τῇ διανοίᾳ λαβὼν ἆρ' οὐ συμπαρεδέξω καὶ τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἂν ἀντείποις. πῶς γὰρ αὐτὸν ὁμολογήσεις, <εἰ> μὴ ἐν πνεύματι ἁγίῳ; πότε οὖν τοῦ υἱοῦ τὸ πνεῦμα χωρίζεται ὥστε τοῦ πατρὸς προσκυνουμένου μὴ συμπεριλαμβάνεσθαι μετὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὴν προσκύνησιν; αὐτὴν δὲ τὴν προσκύνησιν τί ποτε εἶναι λογίζονται, ἣν ὡς ἐξαίρετόν τι γέρας τῷ ἐπὶ πάντων θεῷ χαριζόμενοι καὶ ἕως τοῦ μονο-

18 Deut 6, 13

S D v 14 παρὰ S: περὶ v 27 εἰ addidi (cf II Cor 12, 3)

γενοῦς ἔσθ' ὅτε τὴν τιμὴν ταύτην διαβιβάζοντες ἀπαξιοῦσι τὸ πνεῦμα τοῦ τοιούτου γέρως; ἡ μὲν γὰρ ἀνθρωπίνη συνήθεια τὴν πρὸς τὸ ἔδαφος τῶν ὑποχειρίων ἐπίκλισιν, ἣν ἀσπαζόμενοι τοὺς δυνατωτέρους ἐπιτηδεύουσι, τοῦτο προσαγορεύει προσκύνησιν· καθὼς φαίνεται καὶ ὁ πατριάρχης Ἰακὼβ τοῦ ἀδελφοῦ τὴν ὀργὴν ἱλεούμενος τὸ καταδεέστερον ὑπὸ ταπεινοφροσύνης διὰ τοῦ τοιούτου σχήματος ἐν τῇ ὑπαντήσει πρὸς αὐτὸν ἐπιδείκνυσθαι. Προσεκύνησε, γάρ φησιν, τρίτον ἐπὶ τὴν γῆν. καὶ οἱ τοῦ Ἰωσὴφ ἀδελφοί, ἕως αὐτοί τε ἠγνόουν κἀκεῖνος τὴν ἄγνοιαν πρὸς αὐτοὺς ὑπεκρίνετο, διὰ τὸ ὑπερέχον τοῦ ἀξιώματος τῇ προσκυνήσει τὴν δυναστείαν ἐτίμησαν. προσκυνεῖ δὲ καὶ ὁ μέγας Ἀβραὰμ τοὺς Χετταίους, τοὺς ἐγχωρίους ὁ ἔπηλυς, δεικνύς, οἶμαι, δι' ὧν ἐποίει, ὅσον οἱ αὐτόχθονες τῶν παροικούντων ἐπικρατέστεροι. καὶ πολλὰ τοιαῦτα λέγειν ἐστὶν ἔκ τε τῶν ἀρχαίων διηγημάτων καὶ ἐκ τῶν παρόντων τοῦ βίου ὑποδειγμάτων. ἆρ' οὖν τοῦτο νοοῦσι καὶ αὐτοὶ τὴν προσκύνησιν; καὶ πῶς οὐ καταγέλαστον τὸ μήτε τούτου οἴεσθαι δεῖν ἀξιοῦν τὸ πνεῦμα τὸ ἅγιον, οὗ καὶ τοὺς Χαναναίους ὁ πατριάρχης ἠξίωσεν; ἢ ἄλλην τινὰ παρὰ ταύτην νομίζουσι τὴν προσκύνησιν, ὡς τὴν μὲν ἀνθρώποις, τὴν δὲ τῇ ὑπερεχούσῃ φύσει προσήκουσαν; πῶς οὖν καθόλου τὴν προσκύνησιν ἀθετοῦσιν ἐπὶ τοῦ πνεύματος μηδὲ τὴν ἐπὶ τῶν ἀνθρώπων συγκεχωρημένην αὐτῷ χαριζόμενοι;

Τίνα δὲ καὶ νομίζουσιν ἰδίως ἀποτετάχθαι τῷ θεῷ προσκυνήσεως τρόπον; τὸ εἰπεῖν τῷ ῥήματι ἢ τὸ ἐνεργῆσαι τῷ σχήματι; ἢ ταῦτα μὲν καὶ πρὸς ἀνθρώπους ἐστὶ κοινά· καὶ γὰρ λέγεται καὶ ἐπ' ἀνθρώπων τὰ ῥήματα καὶ ἐνεργεῖται τὰ σχήματα· τί οὖν ἐπὶ θεοῦ τὸ ἐξαίρετον; ἢ παντὶ δῆλον τῷ καὶ ὁποσονοῦν διανοίας μετέχοντι ὅτι θεοῦ μὲν ἄξιον
1333 M. δῶρον ἡ ἀνθρωπίνη φύσις ἔχει οὐδέν· τῶν γὰρ ἀγαθῶν ἡμῶν ὁ ποιητὴς ἡμῶν χρείαν οὐκ ἔχει. ἡμεῖς δὲ οἱ ἄνθρωποι

5 Gen 33, 3 8 Gen 42, 6 12 Gen 23, 7

S D v 12 καὶ om v 27 ἐστὶ v: ἔτι S

τὰς τιμητικὰς ταύτας καὶ ἀγαπητικὰς ἐνδείξεις, ἃς ἐπ' ἀλλήλων ποιούμεθα ἕτερος τοῦ ἑτέρου ταπεινότερος εἶναι τῇ ὁμολογίᾳ τῆς τοῦ πέλας ὑπεροχῆς ἐνδεικνύμενοι, ταύτας μετηνέγκαμεν εἰς τὴν θεραπείαν τῆς κρείττονος φύσεως τῶν ἐν ἡμῖν τὰ τίμια τῇ ἀτιμήτῳ φύσει δωροφοροῦντες. καὶ διὰ τοῦτο, ἐπειδὴ προσιόντες βασιλεῦσιν ἢ δυνάσταις οἱ ἄνθρωποι, ὑπὲρ ὧν ἂν γενέσθαι τι αὐτοῖς παρὰ τῶν δυναστευόντων θελήσωσιν, οὐ ψιλὴν προσάγουσι τοῖς κρατοῦσι τὴν αἴτησιν, ἀλλ' ὡς ἂν μάλιστα πρὸς οἶκτον καὶ εὔνοιαν ἑαυτῶν ἐπαγάγοιντο, ταπεινοῦνται τῷ λόγῳ καὶ προσκυνοῦσι τῷ σχήματι καὶ γονάτων ἅπτονται καὶ εἰς ἔδαφος πίπτουσι καὶ διὰ πάντων οἰκτιζόμενοι συνήγορον τῆς αἰτήσεως ἑαυτῶν προβάλλονται, δι' ὧν ποιοῦσι τὸν ἔλεον. διὰ τοῦτο οἱ τὴν ἀληθῆ δυναστείαν ἐπεγνωκότες, δι' ἧς πάντα διοικεῖται τὰ ὄντα, προσιόντες ὑπὲρ ὧν ἂν ᾖ φίλον αὐτοῖς. οἱ μὲν ταπεινοὶ τὰς ψυχὰς περὶ τῶν ἐν τῷ κόσμῳ τούτῳ σπουδαζομένων, οἱ δὲ ὑψηλοὶ τὴν διάνοιαν περὶ τῶν αἰωνίων καὶ ἀπορρήτων ἐλπίδων, ἐπειδὴ οὐκ ἔχουσιν ὅπως αἰτήσουσιν οὐδὲ χωρεῖ ἡ ἀνθρωπίνη φύσις ἐνδείξασθαί τινα τιμὴν πρὸς τὴν μεγαλοπρέπειαν τῆς δόξης φθάνουσαν, μετήνεγκαν τὴν ἐπὶ τῶν ἀνθρώπων νενομισμένην θεραπείαν εἰς τὴν τοῦ θείου τιμήν. καὶ τοῦτό ἐστιν ἡ προσκύνησις ἡ μετὰ ἱκεσίας καὶ ταπεινότητος τῶν καταθυμίων τινὸς αἴτησις γινομένη. διὸ καὶ Δανιὴλ κάμπτει τῷ κυρίῳ τὰ γόνατα, ἐπὶ τοῦ αἰχμαλώτου λαοῦ τὴν φιλανθρωπίαν αἰτούμενος καὶ ὁ τὰς ἀσθενείας ἡμῶν βαστάσας καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων διὰ τοῦ ἀνθρώπου ὃν ἀνέλαβε πίπτειν ἐπὶ τὸ πρόσωπον ἐν καιρῷ προσευχῆς ὑπὸ τοῦ εὐαγγελίου ἱστόρηται καὶ τούτῳ τῷ σχήματι τὴν εὐχὴν ἐποιεῖτο, νομοθετῶν, οἶμαι, τῇ ἀνθρωπίνῃ ζωῇ τὸ μὴ

24 Dan 9, 3 25 Matth 26, 39

(**S**) **D v** 2 ἕτερον v ταπεινότερον v 13 hinc usque ad finem libelli folium codicis S tinctura nigra obrutum vix legi potest ἔλεον D: ἐλ . . . v 15 προσιόντες D: . . . τες v 16 σπουδαζομένων D: . . . ζομένων v 18 πῶς v 20 μετήνεγκε D, corr v 27 προσπίπτειν v

ἀπαυθαδιάζεσθαι ἐπὶ τοῦ καιροῦ τῆς αἰτήσεως, ἀλλὰ διὰ πάντων πρὸς τὸ ἐλεεινὸν μεθαρμόζεσθαι, ἐπειδὴ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν καὶ Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. εἰ οὖν ἡ προσκύνησις οἷον ἱκετηρία τίς ἐστι, εἰς συνηγορίαν προβεβλημένη τοῦ σκοποῦ τῆς αἰτήσεως, ἡ δὲ αἴτησις πρὸς τὸν τῆς διανομῆς κύριον γίνεται, τίς ἡ διάνοια τῆς καινῆς ταύτης νομοθεσίας; οὐ συνορῶ, μήτε παρὰ τοῦ διδόντος αἰτεῖν μήτε ὑποκύπτειν τῷ ἄρχοντι μήτε θεραπεύειν τὸν δυναστεύοντα μήτε προσκυνεῖν τὸν ἡγούμενον· ὅτι γὰρ πάντα ταῦτα θεωρεῖται περὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐδεὶς οὕτως ἐχθρὸς ἑαυτοῦ καὶ τοῦ πνεύματος ὡς μὴ συνθέσθαι τῷ λόγῳ· ἡγεῖται μὲν γὰρ τὸ ἡγεμονικὸν τῇ φύσει, δυναστεύει δὲ τὸ πάντα ἐνεργοῦν ἐν πᾶσιν, ἐξουσιάζει δὲ τὸ κατ' ἐξουσίαν διαιροῦν τὰ χαρίσματα καθὼς βούλεται, εὐεργετεῖ δὲ ζωὴν χαριζόμενον, ἐλεεῖ λυτρούμενον, θεοποιεῖ θεῷ προσάγον, υἱοθετεῖ Χριστῷ προσοικειοῦν βασιλείαν δωρούμενον, τὸ νεκρὸν ἀνίστησιν, τὸν πεπτωκότα ἐγείρει, τὸν πεπλανημένον εἰς εὐθεῖαν καθίστησιν, τῷ ἑστῶτι φυλάσσει τὴν διαμονήν, τὸν ἀποθανόντα εἰς ἀνάστασιν ἄγει. ἆρα μικρὰ ταῦτα καὶ οὐδεμιᾶς χάριτος ἄξια; οὐκοῦν εἰπάτωσαν τὰ τούτων ἀνώτερα, ὧν ἀμέτοχόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον, δι' ὃ νομίζουσι καὶ τοῦ προσκυνεῖσθαι ἀνάξιον.

Ἔπειτα κἀκεῖνο παρ' αὐτῶν ἔστι μαθεῖν· ὅταν, ὡς οἴονται, τῷ πατρὶ προσκυνῶσιν, ἆρα καθόλου τῆς διανοίας ἑαυτῶν τοῦ τε μονογενοῦς καὶ τοῦ πνεύματος τὴν μνήμην ἐκβάλλουσιν; καὶ μὴν φύσιν οὐκ ἔχει πατέρα ἐννοήσαντα μὴ συνεπινοεῖν τὸν υἱὸν καὶ υἱὸν τῇ διανοίᾳ δεξάμενον μὴ συμπεριλαμβάνειν μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα. εἰ μὲν γὰρ ἀρνεῖται καθόλου καὶ ἀθετεῖ τὴν ὁμολογίαν, εἷς τῶν Ἰουδαίων ἢ Σαδδουκαίων ἐστίν, καὶ τὸν υἱὸν ἀρνούμενος καὶ τὸ

2 Jac 4, 6 4 Luc 14, 11

D (**v**) 4 πᾶς D: που v 5 εἴτε συνηγορία v 6 διανομῆς D: δυνάμεως v 8 οὐ συνορῶ μήτε D: οὐδὲ ... v 9 post δυναστεύοντα desinit v 29 συμπαραλαμβάνειν D, correxi

πνεῦμα τὸ ἅγιον μὴ δεχόμενος· εἰ δὲ ὁπωσοῦν πρεσβεύειν τὰ τῶν Χριστιανῶν ἐπαγγέλλεται, πάντως ὅτι πατέρα ἐννοῶν καὶ τὸν οὗ ἐστι πατὴρ ἐνενόησε καὶ υἱοῦ τὴν ἔννοιαν ἀναλαβὼν προκατηυγάσθη διὰ τοῦ πνεύματος· Οὐδεὶς γὰρ δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. οὐκοῦν ὁ ἀληθινὸς προσκυνητὴς ἀποστὰς τῆς σωματικῆς ταύτης καὶ χαμαιζήλου ταπεινότητος τῶν νοημάτων τὸ ἄρχον καὶ τὸ κυριεῦον καὶ τὸ ἐξουσιάζον καὶ τὸ πάντα τὰ ἀγαθὰ ἐνεργοῦν ἐν πάσῃ τῇ κτίσει οὕτω τιμήσει οὐχ ὡς ἐκείνῳ ἄξιον, ἀλλ' ὅσον αὐτὸς δυνατός ἐστι φέρειν κατὰ τὴν χήραν ἐκείνην, ἣ δύο λεπτοὺς ὀβολοὺς δωροφοροῦσα τοῖς ἱεροῖς θησαυροῖς ἀπεδείχθη † τῆς φιλοτιμίας, οὐχ ὅτι ἄξιον τι θαύματος εἶχεν ἡ ὕλη, ἀλλ' ὅτι πλέον οὐκ ἐχώρει ἡ δύναμις. οὕτω τοίνυν λογιεῖται ὄντως ἔχειν, ὅτι πάντα τὰ παρὰ ἀνθρώπων ὅσα εἰς τιμὴν καὶ δόξαν ἐπινενόηται κατώτερά ἐστι τῆς μεγαλοπρεπείας τοῦ πνεύματος οὐδεμίαν προσθήκην τῆς δόξης ποιούμενα. ἡ μὲν γὰρ ὡσαύτως ἔχει καὶ τιμώντων καὶ μή· ἡ δὲ ἀνθρωπίνη φύσις μόνην δωροφορεῖ τὴν προαίρεσιν, αὐτῷ τῷ θελῆσαι μόνον πληροῦσα ἣν προέθετο χάριν· πλέον δ' ἔτι τοῦ θελήματος καὶ τῆς κατὰ πρόθεσιν ὁρμῆς καὶ κινήσεως ἔχει ἐν τῇ δυνάμει οὐδέν. κἂν θαυμάσαι προέληται κἂν ἐπαίνοις τισὶ τὸ μεγαλεῖον ἀποσεμνῦναι τῆς θείας δυνάμεως, οὐ τὴν φύσιν ἐπῄνεσεν· πῶς γὰρ ἐπαινέσει τὸ ἀγνοούμενον; ἀλλά τι τῶν περὶ αὐτὴν θεωρουμένων ἐδόξασε· Γενεὰ γάρ φησι καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου καὶ τὴν δύναμιν τῶν φοβερῶν σου καὶ τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου καὶ τὰ θαυμάσιά σου καὶ τὴν μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου καὶ τὴν ἐν τούτοις μεγαλωσύνην σου διηγήσονται. ὁρᾷς ὡς διὰ τῶν ἔξωθεν περὶ τὴν θείαν φύσιν θεωρουμένων πληροῦται τῷ προφήτῃ τὸ θαῦμα; αὐτὴ δὲ ἐκείνη καθώς ἐστι ἡ θεία τε καὶ μακαρία δύναμις ἄβατος καὶ ἀθέατος λογισμοῖς μένει καὶ διανοίας

4 I Cor 12, 3 10 Marc 12, 42 30 cf Ps 18, 2

D · 12 ante τῆς supplendum videtur παράδειγμα vel ἀξία vel simile quid 14 ἔχων D, correxi 19 ἣ D, correxi

πολυπραγμοσύνην καὶ λόγου δύναμιν καὶ καρδίας κίνησιν καὶ ἐνθυμήσεως ὁρμήν, πάντα κάτω ἑαυτῆς ἀφιεῖσα πολὺ μᾶλλον ἢ ὅσον τὰ σώματα ἡμῖν ἀπολιμπάνεται τῆς τῶν ἀστέρων ἁφῆς. ὁ οὖν ταῦτα εἰδὼς καὶ συνεγνωκὼς ἑαυτῷ τὸ οὐτιδανὸν καὶ ἀσθενὲς καὶ πενιχρὸν τῆς φύσεως καταγνώσεται μὲν τῆς ματαιότητος τῶν ἀπὸ οὕτω μικρᾶς καὶ εὐτελοῦς τῆς δυνάμεως οἰομένων ἔχειν τι τῆς ἀξίας τοῦ πνεύματος ὑψηλότερον καὶ φειδομένων ἀπ᾽ αὐτοῦ ῥημάτων τινῶν θεραπευτικῶν ἢ σχημάτων, ἃ εἴτε λατρείαν εἴτε προσκύνησιν σύνηθές τισιν ὀνομάζειν οὐ διαφέρομαι· ἀναβλέπων δὲ εἰς τὸ ὕψος τῆς δόξης, ἧς ἡ ἀληθὴς κατανόησις τοῖς ἀνθρώποις ἀνέφικτος, καταγνώσεται ἑαυτοῦ, καθὼς καὶ ὁ πατριάρχης ἐποίησε τῆς θείας ἀξιωθεὶς ἐπιφανείας γῆν καὶ σποδὸν ἑαυτὸν προσαγορεύων· οὕτω δὲ διακείμενος ὅλον ἑαυτὸν ἀναθήσει τῇ θεραπείᾳ τῆς κρείττονος φύσεως, οὐ τὸ μέν τι ποιῶν τῶν εἰς τιμὴν συντεινόντων, τοῦ δὲ ἀπεχόμενος, ἀλλὰ πᾶν ὅτιπερ ἂν ἐν τῇ καθ᾽ ἑαυτὸν δυνάμει μεῖζον καὶ ὑπερέχον εἶναι φανῇ, τοῦτο ἀναθήσει τῷ ἐπὶ πάντων θεῷ, τιμὴν καὶ δόξαν καὶ προσκύνησιν τὴν ὑπὸ τῆς δυνάμεως χωρουμένην διηνεκῶς ἀναπέμπων τῷ ἔχοντι τοῦ σῴζειν τὴν ἐξουσίαν· σῴζει δὲ ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. διὰ τοῦτο καὶ πιστεύει τὴν ἑαυτοῦ σωτηρίαν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ οὐκ εἰς πλῆθος δυνάμεων καὶ θεοτήτων κατακερματίζων τὴν πίστιν, ἀλλ᾽ εἰς μίαν δύναμιν, μίαν ἀγαθότητα, μίαν ζωοποιὸν ἐξουσίαν, μίαν θεότητα, μίαν ζωὴν πιστεύων. οὕτως ἀναπέμψει τὴν εὐχαριστίαν ὑπὲρ τῆς ἑαυτοῦ ζωῆς, ἐκ πατρὸς ἀρχόμενος καὶ τὸν υἱὸν τῷ πατρὶ συμπεριλαμβάνων καὶ τὸ ἅγιον πνεῦμα τοῦ μονογενοῦς οὐ χωρίζων, ὡς πληροῦσθαι τῷ ἐπὶ πάντων θεῷ σὺν τῷ μονογενεῖ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι τιμὴν καὶ δόξαν καὶ προσκύνησιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων,

ἀμήν.

13 Gen 18, 27

D 13 ἐπιφανείας Jaeger: ἐμφανείας D 20 ἀποπέμπων D, corr Jaeger (cf 26)

AD THEOPHILUM
ADVERSUS APOLINARISTAS

CONSPECTUS SIGLORUM
(Ad Theophilum)

A codex Venetus Marcianus gr. 68 membranaceus saec. XII

L codex Leidensis Gronovianus 12 chartaceus saec. XVI

S codex Vaticanus gr. 1907 chartaceus saec. XII/XIII

Z codex Vaticanus gr. 1433 membranaceus saec. XIII

R codex Vaticanus gr. 720 membranaceus saec. XII

E codex Vaticanus gr. 446 membranaceus saec. XII

M codex Ambrosianus C 135 inf. membranaceus saec. XI

F codex Laurentianus Mediceus 86, 13 membranaceus saec. XIV

W codex Vindobonensis theol. gr. 42 membranaceus saec. XII

v textus vulgatus editionis Parisinae (1638) et Mignei

syr versionis Syriacae codicis Vaticani 106 saec. VI retroversio graeca Hermanni Langerbeck

M^2 significat manum alteram codicis M

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ
ΠΡΟΣ ΘΕΟΦΙΛΟΝ
ΚΑΤΑ ΑΠΟΛΙΝΑΡΙΣΤΩΝ

Ἀδελφῷ καὶ συλλειτουργῷ Θεοφίλῳ Γρηγόριος

1269 M. Οὐ μόνης ἐστὶ τῆς κοσμικῆς σοφίας εὔπορος ἡ μεγάλη τῶν Ἀλεξανδρέων πόλις, ἀλλὰ καὶ τῆς ἀληθινῆς [τῆς ὄντως] σοφίας παρ' ὑμῖν ἐξ ἀρχαίου βρύουσιν αἱ πηγαί. διό μοι δοκεῖ καλῶς ἔχειν, παρ' οἷς πλέων ἡ πρὸς τὸ ἀγαθόν ἐστι δύναμις, παρὰ τούτων γίνεσθαι τῆς κατὰ τὸ μυστήριον ἀληθείας τὴν συμμαχίαν. φησὶ γάρ που καὶ τὸ ὑψηλὸν εὐαγγέλιον ὅτι Ὧι πολὺ ἐδόθη, οὗτος τὸ πλέον ἀπαιτηθήσεται. οὐκοῦν δίκαιος ἂν εἴης πᾶσαν τὴν ἐκ τῆς θείας χάριτος προσοῦσαν σοί τε καὶ τῇ ἐκκλησίᾳ σου δύναμιν ἀντιστῆσαι τῇ ψευδωνύμῳ γνώσει τῶν κατὰ τῆς ἀληθείας ἀεί τι καινὸν ἐφευρισκόντων, δι' ὧν τέμνεται μὲν ἡ κατὰ θεὸν συμφωνία, σιγᾶται δὲ τὸ μέγα καὶ σεβάσμιον ὄνομα τῶν

7 Luc 12, 48

ALZ RE FW v syr **Tit** γρηγορίου ἐπισκόπου νύσσης: τοῦ αὐτοῦ EAFW, τοῦ ἁγίου γρηγορίου νύσσης L, τοῦ ἁγίου γρηγορίου ἐπισκόπου νύσσης R πρὸς θεόφιλον ALZ EF: πρὸς τὸν θεοφιλῆ θεόφιλον W, θεοφίλῳ R post θεόφιλον add ἀρχιεπίσκοπον ἀλεξανδρείας ALZ EW, ἀλεξανδρείας F, ἐπισκόπῳ ἀλεξανδρείας R κατὰ ἀπολιναριστῶν ALZ: κατὰ ἀπολιναρίου EFW, om R τοῦ αὐτοῦ γρηγορίου κατὰ ἀπολιναρίου πρὸς θεόφιλον ἐπίσκοπον ἀλεξανδρείας v ἐπιστολὴ τοῦ ἁγίου γρηγορίου ἐπισκόπου νύσσης, ἣ ἐγράφη πρὸς τὸν μακάριον θεόφιλον ἐπίσκοπον τῆς μεγάλης ἀλεξανδρείας κατὰ ἀπολιναρίου syr ἀδελφῷ καὶ συλλειτουργῷ θεοφίλῳ γρηγόριος, titulum genuinum, AL, om cet 1 μόνον ut vid syr εὔφορος REFW v syr 2 τῆς ἀληθινῆς τῆς ὄντως libri v τῆς ἀληθινῆς om Z, τῆς ὄντως secl Jaeger 3 ὑμῶν Z FW ἐξ ἀρχαίου om W syr, ἐξ ἀρχῆς RE F 4 καλῶς ἔχειν om FW πλέων correxi: πλεῖον AZ R, πλείων L E v, πασῶν FW 6 γάρ που F, που γάρ W, ὥς (φησι) syr 7 ante πολὺ add τὸ RE FW v πλεῖον F 8-9 verba πᾶσαν — δύναμιν: μεγάλης ... προσούσης ... δυνάμεως syr 10 ἀντιστῆναι R syr 11 κενὸν A μὲν om Z

Χριστιανῶν· πρὸς δὲ τὰς ἀνθρωπίνας προσηγορίας ἡ ἐκκλησία καταμερίζεται· καὶ τὸ πάντων δεινότατον, ὅτι χαίρουσιν οἱ ἄνθρωποι τοῖς πρὸς τὴν πλάνην καθηγουμένοις ἐπονομαζόμενοι. εἰ μὲν οὖν ἦν δυνατὸν καθόλου τὴν προφητικὴν εὐχὴν εἰς πέρας ἐλθεῖν καὶ ἐκλείπειν τοὺς ἁμαρτωλοὺς ἀπὸ τῆς γῆς καὶ τοὺς ἀνόμους, ὥστε μὴ ὑπάρχειν 1272 M. αὐτούς, ἦν ἂν τὸ τοιοῦτον τῷ παντὶ προτιμότερον. ἐπειδὴ δὲ οἱ λόγοι τῶν ἀνόμων ὑπερισχύουσιν ἐν τῇ τοῦ ἀντικειμένου ἐνεργείᾳ τὴν κατὰ τῆς ἀληθείας ἔχοντες δύναμιν, ἀγαπητὸν ἂν εἴη ἐλαττῶσαι γοῦν τὰ κακὰ καὶ κωλῦσαι πρὸς πλέον προϊοῦσαν τὴν τῶν χειρόνων ἐπαύξησιν.

Τί οὖν ἐστιν ὅ φημι; οἱ τῶν Ἀπολιναρίου δογμάτων προιστάμενοι διὰ τῆς καθ᾿ ἡμῶν μέμψεως κρατύνειν ἐπιχειροῦσι τὰ ἴδια, σάρκινον τὸν λόγον καὶ δημιουργὸν τῶν αἰώνων τὸν τοῦ ἀνθρώπου υἱὸν καὶ θνητὴν τοῦ υἱοῦ κατασκευάζοντες τὴν θεότητα. προφέρουσι γὰρ ὡς τινῶν τῶν κατὰ τὴν καθολικὴν ἐκκλησίαν δύο πρεσβευόντων υἱοὺς ἐν τῷ δόγματι, τὸν μὲν κατὰ φύσιν ὄντα, τὸν δὲ κατὰ θέσιν ὕστερον προσγενόμενον (οὐκ οἶδα παρ᾿ ὅτου τὸ τοιοῦτον

5 Ps 103, 35 8 II Thess 2, 4 et 9

ALZ RE (FW M) v syr 4 ἐπονομαζόμενοι FW, ἐπονομάζεσθαι cet, ὅτι ἐπονομάζονται καθηγεμόνες τοῖς τῆς πλάνης καθηγουμένοις (pass) syr (cf de veris Christianis in tractatibus De prof Christ p 135, 8 (Jaeger) τῷ ὑπερέχοντι συνονομάζεσθαι et De perf p 174, 13 συνονομασθῆναι τῷ δεσπότῃ ibidemque p 183, 13 ὁ τῷ Χριστῷ συνονομαζόμενος et 175, 4 ἐπονομαζόμενοι . . . αὐτῷ. at haeretici suis ducibus quam Christo ἐπονομάζεσθαι malunt.) δυνατὸν ἦν FW 5 εὐχὴν: φωνὴν Z FW καὶ om FW syr 6 τοὺς om v ὥστε om syr 7 αὐτούς: ἐμφανῶς v, ἐν αὐτῇ syr τοιούτω τὸ A ἐπεὶ R WF 9 συνεργείᾳ R, συνεργίᾳ E FW v (cf II Thess 2, 9 κατ᾿ ἐνέργειαν τοῦ σατανᾶ) 10 γοῦν: μὲν FW, οὖν v καὶ om, post κωλῦσαι add δὲ FW 11 πλεῖον ALZ, τέλεον FW χείρων A 12 ante Ἀπ. add τοῦ v 12-13 τῶν . . . δογμάτων προιστάμενοι ALZ: τοῖς . . . δόγμασι προιστάμενοι FW, τοῖς . . . δόγμασι παριστάμενοι R syr (?), τοῖς . . . δόγμασι συνιστάμενοι E v 14 δημιουργὸν: κύριον R syr a verbo δημιουργὸν inc M 15 υἱὸν om Z post θνητήν add, ante θεότητα (16) om τὴν ALZ M (bene, quantum ad sénsum, sed clausulam corruperunt) 19 ante ὕστερον add καὶ syr post οἶδα add δὲ syr ὅτου: οἷς AL, οὗ M

ἀκηκοότες καὶ πρὸς ποῖον διαπληκτιζόμενοι πρόσωπον· οὔπω γὰρ ἔγνων τὸν ταῦτα παραφθεγξάμενον) — πλὴν ἐπειδὴ ταύτην προστησάμενοι καθ' ἡμῶν τὴν ὑπόθεσιν διὰ τοῦ δοκεῖν τῇ ἀτοπίᾳ ταύτῃ συμπλέκεσθαι τὰς ἑαυτῶν ὑπολήψεις κρατύνουσιν, καλῶς ἂν ἔχοι τὴν σὴν ἐν Χριστῷ τελειότητα, καθὼς ἄν σοι ἐπὶ νοῦν ἀγάγῃ τὸ πνεῦμα τὸ ἅγιον, ἐκκόψαι τὰς ἀφορμὰς τῶν ζητούντων τὰς καθ' ἡμῶν ἀφορμὰς καὶ πεῖσαι τοὺς ταῦτα συκοφαντικῶς ἐπικαλοῦντας τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, ὅτι οὔτε ἔστι δόγμα τοιοῦτον ἐν Χριστιανοῖς οὔτε κηρυχθήσεται. οὐ γάρ, ἐπειδὴ ὁ τῶν αἰώνων ποιητὴς ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, διὰ τοῦτο δύο υἱοὶ κατὰ τὴν ἐκκλησίαν ἀριθμοῦνται, εἷς ὁ ποιητὴς τῶν αἰώνων καὶ ἄλλος ὁ ἐπὶ τῷ τέλει τῶν αἰώνων διὰ σαρκὸς φανερωθεὶς τῇ ἀνθρωπίνῃ ζωῇ. εἰ γάρ τις τὴν οἰκονομικὴν τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ διὰ σαρκὸς ἐπιφάνειαν εἰς ἑτέρου υἱοῦ κατασκευὴν λαμβάνοι, οὗτος, ἀριθμήσας [καὶ] πάσας τὰς τοῖς ἁγίοις γεγενημένας θεοφανείας <τὰς> πρό τε τῆς κατὰ

7 II Cor 11, 12

ALZ RE M v syr 2 παραφθεγγόμενον RM (post ἔγνων — aliter ac post ἤκουσα — praeferendum videtur participium aoristi) post πλὴν add ἀλλ' (ex coniectura, ut suspicor, quae pro πλὴν super scripta erat) M 6 ἀγάγῃ ALZ: ἄγῃ R, ἀγάγοι E M 7-8 verba τῶν — ἀφορμὰς om M ne corrigendum putes alterum ἀφορμὰς, cf II Cor 11, 12 ... ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν ... 10 οὐδὲν post Χριστιανοῖς add M, lineam transgressus add R κηρυχθήσεται ALZ, ut vid etiam syr: κηρύσσεται RE M v οὐ AL: οὐδὲ Z E M 11 τῆς om RE 12 συνανεστράφη corr Jaeger: συνεστράφη libri 13 post εἷς add γὰρ R syr ὁ om R M 14 verba καὶ — αἰώνων om R syr τῷ τέλει ALZ: τέλει M, συντελείᾳ E (ex coniectura ut suspicor secundum Hebr 9, 26 ... ἐπὶ συντελείᾳ τῶν αἰώνων ...) ante διὰ add ὁ L syr 15 οἰκονομίαν v μονογενοῦς om syr (falso, quod sequitur ἑτέρου (16)) 15-16 verba οἰκονομικήν — σαρκὸς om A 16 τοῦ θεοῦ om syr ἑτέρου υἱοῦ: ἑτέρας σαρκὸς syr (per errorem scribae, non interpretis) 17 ἀριθμήσας: syr corr per errorem scribae, non interpretis καὶ seclusit Jaeger καὶ πάσας om, post τὰς add πρότερον syr 18 γενομένας v τὰς add Jaeger πρό τε AL: πρό γε M, πρὸ RE syr, πρότερον (ex coniectura ut vid) Z

σάρκα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ φανερώσεως καὶ τὰς μετὰ ταῦτα πάλιν τοῖς ἀξίοις γεγενημένας, κατὰ τὸν ἀριθμὸν τῆς θεϊκῆς ἐπιφανείας υἱῶν πλῆθος εἶναι κατασκευάσει καὶ ἔσται αὐτῷ εἷς μὲν υἱὸς ὁ τῷ Ἀβραὰμ χρηματίσας, ἕτερος δὲ ὁ ἐπιφανεὶς τῷ Ἰσαάκ· καὶ ὁ τῷ Ἰακὼβ συμμαχήσας ἕτερος· καὶ ἄλλος ὁ τῷ Μωυσῇ φανεὶς ἐν διαφόροις ἐπιφανείαις, ἐν φωτί, ἐν γνόφῳ, ἐν στύλῳ νεφέλης, ἐν τῇ κατενώπιον ὄψει, ἐν τοῖς ὀπισθίοις. ἄλλος πάλιν υἱὸς ὁ τῷ διαδόχῳ τοῦ Μωυσέως συμπαραταξάμενος· καὶ ὁ διὰ λαίλαπος τῷ Ἰὼβ χρηματίσας· καὶ ὁ ἐπὶ τοῦ ὑψηλοῦ θρόνου τῷ Ἠσαΐᾳ φανείς· καὶ ὁ ἀνθρωπικῷ σχήματι παρὰ τοῦ Ἰεζεκιὴλ τῷ λόγῳ ὑπογραφείς· καὶ μετὰ ταῦτα ὁ ἐν τῷ φωτὶ καταστράψας τὸν Παῦλον· καὶ πρὸ τούτου ὁ ἐπὶ τοῦ ὄρους τοῖς περὶ τὸν Πέτρον ἐν ὑψηλοτέρᾳ δόξῃ φανείς. εἰ δὲ τοῦτο ἄτοπον καὶ παντελῶς ἀσεβὲς τὸ τὰς ποικίλας τοῦ μονογενοῦς θεοφανείας εἰς ἀριθμὸν υἱῶν καταμερίζειν, τὴν ἴσην ἀτοπίαν ἔχει καὶ τὸ τὴν διὰ σαρκὸς
1273 M. ἐπιφάνειαν ἀφορμὴν εἰς ἑτέρου υἱοῦ κατασκευὴν ποιεῖσθαι.

4 Gen 12, 1, 7 et in sequentibus 5 Gen 28, 13; 21, 26 et 31 7 Ex 3, 2; 19, 16 et 20, 21; 13, 21 et sq 8 Ex 33, 11; 14, 19 9 Jos 5, 13 10 Job 38, 1; 11 Jes 6,1 12 Ez 1, 26 13 Act 9, 3 14 Matth 17, 1

ALZ RE M v syr 1 μονογενοῦς om AL syr 2 ἀριθμὸν corr syr (scriba, non interpres) 3 τῶν θεϊκῶν ἐπιφανειῶν syr κατασκευάσει εἶναι E 4 αὐτῷ om AL εἷς: οἷς AL μὲν om R 5 τῷ alt: τὸ A 5-6 συμμαχήσας corr in συμμάχεις A 7 post ἐπιφανείας add λέγω δέ syr καὶ post φωτί add syr, post νεφέλης M 7-8 ἐν τῇ ὄψει ἢ ἐνώπιος ἐνωπίῳ syr 8 post ὄψει add καὶ M syr (ut vid) ἐν τοῖς ὀπισθίοις: καὶ πάλιν ἐν τῇ λάθρᾳ ὄψει syr post ἄλλος add δὲ syr 9 Μωυσέως L R M: Μωυσέος Z E, Μωσέως A v ante ὁ add ἄλλος Z E ὁ ante διὰ om AL 10 τοῦ om v (cf Jes 6, 1) 12 τοῦ: τῷ M (p 128, 9) Ἐζεκιὴλ R τῷ λόγῳ om syr 12-13 ὁ μετὰ ταῦτα E v 13 τῷ om R E v πρὸ τούτου: μετὰ τούτων syr 14 τοῖς om A τὸν om M 15 τὸ supra add M, om RE 16 post μονογενοῦς add υἱοῦ τοῦ θεοῦ E syr (secundum p 121, 16 et 122, 1 ut suspicor) post υἱῶν add πολλῶν syr 17 τὸ Z, om cet 18 ἐμφάνειαν ALZ R εἰς: om AL, τῆς M ἑκατέρου AL κατασκευῆς ex -ὴν corr M an transponendum ποιεῖσθαι κατασκ. restituendae clausulae gratia?

Οἰόμεθα γὰρ ὅτι κατὰ τὸ μέτρον τῆς ἑκάστου δυνάμεως τῶν δεχομένων τὴν θείαν ἐπιφάνειαν ἀεὶ γέγονε τῆς ὑπερεχούσης φύσεως ἡ ὀπτασία, μείζων μὲν καὶ θεοπρεπεστέρα τοῖς δυναμένοις καθικέσθαι τοῦ ὕψους, ἐλάττων δὲ καὶ σμικροπρεπεστέρα τοῖς ἀχωρήτοις τοῦ μείζονος· οὗ χάριν οὐχ ὁμοίως ταῖς προλαβούσαις ἐπιφανείαις ἐν τῇ διὰ σαρκὸς οἰκονομίᾳ τῇ τῶν ἀνθρώπων ζωῇ ἐπιφαίνεται, ἀλλ' ἐπειδὴ πάντες, καθώς φησιν ὁ προφήτης, ἐξέκλινάν τε καὶ ἠχρειώθησαν καὶ οὐκ ἦν, καθὼς γέγραπται, ὁ δυνάμενος συνιέναι καὶ ἐκζητῆσαι τὸ τῆς θεότητος ὕψος, διὰ τοῦτο τῇ σαρκωδεστέρᾳ γενεᾷ ἐπιφαινόμενος ὁ μονογενὴς υἱὸς σάρξ γίνεται, κατὰ τὴν βραχύτητα τοῦ δεχομένου ἑαυτὸν συστείλας, μᾶλλον δέ, καθώς φησιν ἡ γραφή, ἑαυτὸν κενώσας, ἵνα ὅσον χωρεῖ ἡ φύσις τοσοῦτον δέξηται. τὸ γὰρ εἶναι τὴν γενεὰν ἐκείνην παρὰ τὰς προλαβούσας κατάκριτον, σαφῶς παρὰ τῆς τοῦ κυρίου φωνῆς μεμαθήκαμεν, ἐν οἷς Σοδομίτας τε αὐτῶν ἀνεκτοτέρους ἀπέφηνε καὶ Νινευΐτας καὶ τὴν τοῦ νότου βασίλισσαν κατακρινεῖν ἐν τῇ ἀναστάσει τὴν γενεὰν ἐκείνην ὁ κύριος διωρίσατο.

Εἰ μὲν οὖν πάντες κατὰ τὸν Μωυσέα δυνατῶς εἶχον ἐντὸς γενέσθαι τοῦ γνόφου, ἐν ᾧ εἶδεν ὁ Μωυσῆς τὰ

8 Ps 13, 3 10 Ps 81, 5 (Jes 35, 2) Rom 11, 33 13 Phil 2, 7 16 Matth 10, 15 19 Matth 12, 42 21 Exod 20, 21

ALZ RE M v syr 1 ὅτι om R syr 2 ἐπιφάνειαν v: ἐμφάνειαν libri (cf 122, 18) ἀεὶ: εἰ M, ἀεί ποτε γέγονεν pro εἰ in marg add M², om syr γεγονέναι R syr post τῆς add γὰρ R syr 3 μεῖζον A R 5 σμικροπεπεστέρα (sic) E v, μικροπρεπεστέρα R M 6-7 ἐν τῇ — ἐπειδὴ: ἡ ... οἰκονομία κατὰ τὴν τῶν ἀνθρώπων δύναμιν ἐπιφαίνεται, ὅθεν γνωρίζεται ὅτι syr 6 διὰ: τῆς A L, post διὰ add τῆς R M 8 προφήτης: ψαλμός M τε om R syr, post τε add ἅμα M syr, καὶ om syr (cf Ps 13, 3 (= Rom 3, 12) πάντες ἐξέκλιναν, ἅμα ἠχρεώθησαν) 10 ζητῆσαι M 11 υἱὸς: θεὸς R M 12 δεχομένου: φαινομένου Z συνστείλας A 13 κενόσας A, ἐκκενώσας M 14 ὅσωπερ M 16 ἐν: ἐφ' M 17 αὐτῶν: ἑαυτῶν R, τούτων M ἀπέφηνε: εἶναί φησι R E v, φασιν εἶναι M 18 κατακρινεῖν correxi: κατακρίνειν libri v ἐν τῇ ἀναστάσει om syr 19 προδιωρίσατο syr 20 τὸν om A L Μωσέα M 21 τοῦ γνόφου om M ἐν ᾧ: ὧν M ὁ om A

ἀθέατα ἢ κατὰ τὸν ὑψηλὸν Παῦλον τριῶν οὐρανῶν ὑπεραρθῆναι καὶ ἐν παραδείσῳ περὶ τῶν ὑπὲρ λόγον πραγμάτων διδαχθῆναι τὰ ἄρρητα· ἢ κατὰ τὸν ζηλωτὴν Ἠλίαν τῷ πυρὶ πρὸς τὸν αἰθέριον χῶρον συνεπαρθῆναι καὶ μὴ βαρυνθῆναι τῷ ἐφολκίῳ τοῦ σώματος· ἢ κατὰ τὸν Ἰεζεκιὴλ τε καὶ Ἠσαΐαν ἐπὶ τοῦ θρόνου τῆς δόξης ἰδεῖν τὸν ἐπὶ τῶν Χερουβὶμ ἐπαιρόμενον ἢ ὑπὸ τῶν Σεραφὶμ δοξαζόμενον — οὐδ' ἂν ἐγένετο πάντως χρεία τῆς διὰ σαρκὸς τοῦ θεοῦ ἡμῶν ἐπιφανείας, πάντων τοιούτων ὄντων. ἐπειδὴ δέ, καθὼς ὁ κύριος λέγει, γενεὰ πονηρὰ καὶ μοιχαλὶς ἦν ἡ γενεὰ ἐκείνη (πονηρὰ μὲν διὰ τό, καθώς φησι τὸ εὐαγγέλιον, ὅλον τότε τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι, μοιχαλὶς δὲ διὰ τὸ ἀποστᾶσαν αὐτὴν τοῦ ἀγαθοῦ νυμφίου τῷ διὰ κακίας μοιχεύοντι τὰς ψυχὰς ἀνακραθῆναι) — τούτου χάριν ὁ ἀληθινὸς ἰατρός, ὁ τοὺς κακῶς ἔχοντας θεραπεύων ὡς ἐπεζήτει τὴν θεραπείαν ἡ νόσος, οὕτω προσήγαγε τῷ ἀρρωστοῦντι τὴν ἐπιμέλειαν, τρόπον τινὰ συνασθενήσας τῇ ἀρρωστίᾳ τῆς ἡμετέρας φύσεως καὶ σὰρξ γενόμενος, ἥτις ἐν τῇ ἑαυτῆς φύσει συνουσιωμένην ἔχει τὴν ἀσθένειαν, καθὼς διδάσκει ἡ θεία φωνὴ ὅτι Τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Εἰ μὲν οὖν τὸ θεῖον ἐν τῷ ἀνθρωπίνῳ γενόμενον καὶ ἐν τῷ θνητῷ τὸ ἀθάνατον καὶ τὸ δυνατὸν ἐν τῷ ἀσθενεῖ καὶ

1 II Cor 12, 2 4 IV Reg 2, 11 5 Ez 10, 1 Jes 6, 1
10 Matth 12, 39 11 I Joh 5, 19 20 Matth 26, 41

ALZ RE M v syr 1 ἀθέατα: θεάματα M 2 ante παραδείσῳ add τῷ E (cf II Cor 12, 4 ἡρπάγη εἰς τὸν παράδεισον) λόγων A 3 τῷ: τὸ A 4 βαρηθῆναι RE M 5 ἐζεκιὴλ R 6 τὸν (vel αὐτὸν) syr, om cet post τὸν add ἢ Z RE ἐπὶ alt mutavit in ὑπὸ A, ὑπὸ L 7 οὐδὲν Z 8 πάντως om M syr θεοῦ: δεσπότου M 9 ἐμφανείας R τοιούτων syr: τούτων cet ἐπεὶ M v 11 τότε om syr 12 ἀποστάσαν AL, ἀποστάσαι v, ἀποστῆναι [. . . πρὸς τὸν . . . μοιχεύοντα τὰς ψυχὰς καὶ ἀνακραθῆναι αὐτῷ] syr 13 ante τῷ add καὶ v 15 ὁ om v τὴν θεραπείαν post νόσος coll AL 17 συναναστήσας AL ἀρρωστίᾳ: ἀσθενείᾳ ALZ 18 ἑαυτῆς: αὐτοῦ M, ης supra add M² 20 ante πνεῦμα add μὲν Z M² v (sec Matth 26, 41) 21 ἀνθρώπῳ R M, post ἀνθρωπίνῳ add σώματι ALZ 22 κα τὸ δυνατὸν ἐν τῷ om M

ἐν τῷ τρεπτῷ τε καὶ φθειρομένῳ τὸ ἀναλλοίωτόν τε καὶ ἄφθαρτον ἐφῆκεν ἐπιμεῖναι τὸ θνητὸν τῷ θνητῷ ἢ τῇ φθορᾷ τὸ φθαρτὸν καὶ τὰ ἄλλα τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν τρόπον, εἰκότως ἄν τις δυάδα τῷ υἱῷ τοῦ θεοῦ ἐνεθεώρησεν, τῶν κατὰ τὸ ἐναντίον θεωρουμένων ἑκάτερον ἰδιαζόντως ἐφ' ἑαυτοῦ ἀριθμῶν. εἰ δὲ τὸ θνητὸν ἐν τῷ ἀθανάτῳ γενό-
1276 M. μενον ἀθανασία ἐγένετο, ὁμοίως <δὲ> καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετέβαλε καὶ τὰ ἄλλα πάντα ὡσαύτως πρὸς τὸ ἀπαθές τε καὶ θεῖον μετεποιήθη, τίς ὑπολείπεται λόγος ἔτι τοῖς εἰς δυϊκὴν διαφορὰν τὸ ἓν διασχίζουσιν;

Ὁ γὰρ λόγος καὶ πρὸ τῆς σαρκὸς καὶ μετὰ τὴν ἔνσαρκον οἰκονομίαν λόγος καὶ ἦν καὶ ἔστιν· καὶ ὁ θεὸς καὶ πρὸ τῆς τοῦ δούλου μορφῆς καὶ μετὰ ταύτην θεός ἐστιν· καὶ τὸ φῶς τὸ ἀληθινὸν πρίν τε ἐλλάμψαι τῇ σκοτίᾳ καὶ μετὰ ταῦτα φῶς ἐστιν ἀληθινόν. εἰ οὖν ἀμετάπτωτος καὶ ἀμετάθετος πᾶσα θεοπρεπὴς ἔννοια διὰ παντὸς περὶ τὸν μονογενῆ καθορᾶται καὶ ὁ αὐτός ἐστιν ἀεὶ πρὸς ἑαυτὸν ὡσαύτως ἔχων, πῶς τις ἡμᾶς ἀναγκάζει τὴν διὰ σαρκὸς γενομένην αὐτοῦ ἐπιφάνειαν υἱῶν δυάδα κατονομάζειν, ὡς τοῦ μὲν προαιωνίου ὄντος υἱοῦ, τοῦ δὲ διὰ σαρκὸς τῷ θεῷ γεννηθέντος ἄλλου υἱοῦ;

Ἡμεῖς γὰρ σωθῆναι μὲν τὴν ἀνθρωπίνην φύσιν ἑνωθεῖσαν τῷ λόγῳ παρὰ τοῦ μυστηρίου καὶ μεμαθήκαμεν καὶ

ALZ RE M v syr 1 τε om AL R M φυρομένῳ M 2 τῷ θνητῷ τὸ θνητὸν v θνητῷ: θανάτῳ M 3 φθαρτὸν: ἄφθαρτον E τἄλλα ALZ 4 post δυάδα add υἱῶν ALZ τις: τι A ἐνεθέωσε Z 6 θανάτῳ M 7 δὲ add Jaeger καὶ ὁμοίως syr: ὁμοίως καὶ cet 8 ἅπαντα ALZ μετεβλήθη M 10 ἔτι om M v post δυϊκὴν add υἱῶν ALZ 11 πρὸ τῆς σαρκὸς: ἐν σαρκὶ M 11-12 ἔνσαρκον ALZ: ἐν σαρκὶ cet v, σαρκὸς syr 12 ὁ om R syr 13 ταύτης E, ταῦτα AL, μετ' αὐτὴν M (an recte?) ante θεὸς add ὁ RE v 14 τε: τὸ M ἐλλάμψη R E v 14-15 καὶ μετὰ ταῦτα om M 15 ἀμετάπτωτος correxi: ἄπτωτος libri v 15-16 ἀμετάθετος: ἀμετάπτωτος AL 17 ὁρᾶται v 18-19 αὐτοῦ γενομένην ALZ 20 ὄντως R γενηθέντος v 22 φύσιν om R 23 post μυστηρίου add ἡμῶν syr

πεπιστεύκαμεν· υἱὸν δὲ θεοῦ σάρκινον ἰδιαζόντως ἐφ' ἑαυτοῦ θεωρούμενον οὔτε ἐμάθομεν οὔτε ἐξ ἀκολουθίας τινὸς νοεῖν ἐναγόμεθα. οὐ γὰρ ἁμαρτία καὶ κατάρα δι' ἡμᾶς, καθὼς ὁ ἀπόστολος λέγει, γενόμενος καὶ τὰς ἡμετέρας ἀναλαβὼν ἀσθενείας, κατὰ τὴν Ἠσαΐου φωνήν, περὶ ἑαυτόν, ἀφῆκεν ἀνίατον τὴν ἁμαρτίαν καὶ τὴν κατάραν καὶ τὴν ἀσθένειαν· ἀλλὰ τὸ μὲν θνητὸν ὑπὸ τῆς ζωῆς κατεπόθη, ὁ δὲ σταυρωθεὶς ἐξ ἀσθενείας ἔζησεν ἐκ δυνάμεως ἥ τε κατάρα εἰς εὐλογίαν μετεποιήθη καὶ πᾶν, ὅσον ἀσθενὲς τῆς φύσεως ἡμῶν καὶ ἐπίκηρον ἀνακραθὲν τῇ θεότητι ἐκεῖνο ἐγένετο, ὅπερ ἡ θεότης ἐστίν. πόθεν οὖν ἄν τις τὴν δυάδα τῶν υἱῶν ἐννοήσειεν ὡς ἀνάγκῃ τινὶ διὰ τῆς κατὰ σάρκα οἰκονομίας πρὸς τήν τοιαύτην ὑπόληψιν ἐναγόμενος;

Ὁ γὰρ ἀεὶ ἐν τῷ πατρὶ ὢν καὶ ἀεὶ ἔχων ἐν ἑαυτῷ τὸν πατέρα καὶ ἡνωμένος αὐτῷ, ὡς ἦν καὶ πρώην, οὕτω καὶ ἔστι καὶ ἔσται καὶ ἄλλος παρ' ἐκεῖνον υἱὸς οὔτε ἦν οὔτε ἐγένετο οὔτε ἔσται· ἡ δὲ προσληφθεῖσα τῆς ἀνθρωπίνης φύσεως ἀπαρχή, ὑπὸ τῆς παντοδυνάμου θεότητος (ὡς ἂν εἴποι τις εἰκόνι χρώμενος) οἷόν τις σταγὼν ὄξους ἀπείρῳ πελάγει κατακραθεῖσα, ἔστι μὲν ἐν τῇ θεότητι, οὐ μὴν ἐν τοῖς ἰδίοις αὐτῆς ἰδιώμασιν. οὕτω γὰρ ἂν ἡ τῶν υἱῶν δυὰς

4 II Cor 5, 21 Gal 3, 13 5 Jes 53, 12 7 II Cor 5, 4 8 II Cor 13, 4 9 II Esdr 23, 2 (= Ne 13, 2)

ALZ RE M v syr 1 πεπιστεύκαμεν LZ syr: ομεν πεπιστεύκαμεν A, πιστεύομεν cet ante θεοῦ add τοῦ E ἰδίως AL 2 θεωρούμενον: συντηρούμενον M οὔτε ἐμάθομεν om M, οὔτε παρὰ τῆς ἁγίας γραφῆς διδασκόμεθα in marg add M² 5 λαβὼν M v 5-6 ἀφῆκεν περὶ ἑαυτόν libri v, correxi περὶ ἑαυτόν om M 6 ἀνιάτρευτον E v 8 ζῇ RE M (cf II Cor 13, 4) 9 πᾶν om v 10 ἀνακαθαρθὲν AL 11 ἐστιν ἡ θεότης ALZ οὖν om M, in marg add M² 12 τὴν κατὰ σάρκα οἰκονομίαν M ante σάρκα add τὴν RE 14 ἀεὶ (ante ἔχων) om AL syr ἐν (ante ἑαυτῷ) om R 15 ὡς: ὃς M πρώην LZ R: πρόην cet οὕτω RE v syr: οὗτος ALZ, om M 16-17 verba καὶ ἄλλος — ἔσται om M 16 ἄλλο v 18 φύσεως om E 18-19 verba ὡς — χρώμενος om R M syr 19 alt τις: τί A 20 κραθεῖσα ZE τῇ om v οὐ μὴν ἐν τοῖς: οὐ μόνῃ ἐν πᾶσι τοῖς R 21 ἑαυτῆς ZR, αὐτῆς E

ἀκολούθως ὑπενοεῖτο, εἰ ἐν τῇ ἀφράστῳ τοῦ υἱοῦ θεότητι ἑτερογενής τις φύσις [ἐν] ἰδιάζουσι σημείοις ἐπεγινώσκετο, ὡς εἶναι τὸ μὲν ἀσθενὲς ἢ μικρὸν ἢ φθαρτὸν ἢ πρόσκαιρον, τὸ δὲ δυνατὸν καὶ μέγα καὶ ἄφθαρτον καὶ ἀΐδιον· ἐπειδὴ δὲ πάντων τῶν τῷ θνητῷ συνεπιθεωρουμένων ἐν τοῖς τῆς θεότητος ἰδιώμασι μεταποιηθέντων, ἐν οὐδενὶ καταλαμβάνεται ἡ διαφορά (ὅπερ γὰρ ἄν τις ἴδῃ τοῦ υἱοῦ, θεότης ἐστί, σοφία, δύναμις, ἁγιασμός, ἀπάθεια), πῶς ἂν διαιροῖτο τὸ ἓν
1277 M. εἰς δυϊκὴν σημασίαν, μηδεμιᾶς διαφορᾶς τὸν ἀριθμὸν μεριζούσης;

Ἡ γὰρ θεότης τὸ ταπεινὸν ὑπερύψωσεν· τῷ κατωνομασμένῳ ἀνθρωπικῶς τὸ ὑπὲρ πᾶν εἶναι ὄνομα ἐχαρίσατο· τὸ ὑποχείριον καὶ δοῦλον κύριον καὶ βασιλέα ἐποίησεν, καθὼς ὁ Πέτρος φησὶν ὅτι Κύριον αὐτὸν καὶ Χριστὸν ὁ θεὸς ἐποίησεν (νοοῦμεν γὰρ διὰ τοῦ Χριστοῦ βασιλέα). καὶ διὰ τὴν ἀκριβῆ ἑνότητα τῆς τε προσληφθείσης σαρκὸς καὶ τῆς προσλαβομένης θεότητος ἀντιμεθίσταται τὰ ὀνόματα, ὥστε καὶ τὸ ἀνθρώπινον τῷ θείῳ καὶ τὸ θεῖον τῷ ἀνθρωπίνῳ κατονομάζεσθαι. διὸ καὶ ὁ ἐσταυρωμένος κύριος τῆς δόξης

9 Phil 2, 9 13 Phil 2, 9 14 Act 2, 36 15 cf De perfectione p 176, 17-177, 7 de Christo rege

AL(ZS) RE (M FW) v syr 1 ἐν syr, om cet a verbo υἱοῦ inc S 2 ante ἰδιάζουσι add ἐν AS RE M v syr, recte om L ἰδιαζούσῃ R 4 post pr καὶ expl M καὶ ante ἄφθαρτον om v καὶ ἄφθαρτον om F ἐπεὶ LRW, δὲ om F 5-6 τῶν — μεταποιηθέντων: τούτων τῷ θεῷ ἡνωμένων syr falsa interpretatione 5 τῷ θνητῷ om F W 6 καταλαμβάνεται: μανθάνεται F W 7 ἴδοι ALS E v τοῦ — ἐστι: τὸν υἱὸν εἶναι λέγω δὲ θεότης syr ἐστί: ἐν F W 8 διαιρεῖται (ἂν om) L R FW, διαίρεται (ἂν om) A 11 ante τῷ add καὶ v (cf Phil 2, 9) 12 τὸ — ὄνομα: τὸ ὄνομα τὸ ὑπὲρ πάντα τὰ ὀνόματα syr πᾶν om R W ὄνομα εἶναι R E εἶναι om F 13 ὑποχρόνιον F, ὑπερχρόνιον W 14 αὐτὸν coll ante ὁ alt A ὁ θεὸς om F W 15 ante βασιλέα add τὸν F W βασιλείαν v 16 τῆς τε προσληφθείσης σαρκὸς: τοῦ προσληφθέντος ἀνθρώπου R FW (sive propter verbum ἀνθρώπινον, quod sequitur (18), sive ratione dogmatica adducti) 17 ἀντιμεθίστανται E v 18 verba τὸ ἀνθρώπινον — θεῖον om W τὸ θεῖον om R ante τῷ add ἐν AL F τῷ ἀνθρωπίνῳ: τὸ ἀνθρώπινον A 19 διὸ: διὰ τοῦτο FRW

ὑπὸ τοῦ Παύλου καλεῖται καὶ ὁ προσκυνούμενος ὑπὸ πάσης κτίσεως, τῶν τε ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, Ἰησοῦς ὀνομάζεται· διὰ τούτων γὰρ ἡ ἀληθής τε καὶ ἀδιαίρετος ἕνωσις ἑρμηνεύεται, ἐκ τοῦ καὶ τὴν ἄφραστον τῆς θεότητος δόξαν τῇ τοῦ Ἰησοῦ προσηγορίᾳ σημαίνεσθαι, ὅταν πᾶσα σὰρξ ἐξομολογήσηται καὶ πᾶσα γλῶσσα ὅτι κύριος Ἰησοῦς Χριστός, καὶ τὸν τὰ πάθη τοῦ σταυροῦ δεξάμενον καὶ περονηθέντα τοῖς ἥλοις καὶ διαπαρέντα τῇ λόγχῃ κύριον δόξης παρὰ τοῦ Παύλου προσαγορεύεσθαι. εἰ οὖν καὶ τὸ ἀνθρώπινον οὐκ ἐν τοῖς τῆς φύσεως ἰδιώμασι δείκνυται ἀλλὰ κύριος τῆς δόξης ἐστίν, οὐκ ἂν δέ τις εἰπεῖν δύο κυρίους δόξης τολμήσειεν, μαθὼν ὅτι Εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, πόθεν ἡμῖν ἐπικαλοῦσι τῶν υἱῶν τὴν δυάδα οἱ τὴν καθ' ἡμῶν κατηγορίαν εὐπρόσωπον ἀφορμὴν εἰς κατασκευὴν τῶν ἰδίων ὑπολήψεων προβαλλόμενοι;

Τὰ μὲν οὖν παρ' ἡμῶν εἰς ἀπολογίαν τοιαῦτα· ζητοῦμεν δὲ παρὰ τῆς σῆς ἐν Χριστῷ τελειότητος μείζονα καὶ τελειοτέραν τῆς ἀληθείας τὴν συμμαχίαν, ὡς ἂν μηδεμίαν ἔχοιεν κατὰ τῆς ἐκκλησίας εἰς κατηγορίαν λαβὴν οἱ διὰ τῆς καθ' ἡμῶν μέμψεως τὰς ἰδίας ὑπολήψεις κρατύνοντες.

1 I Cor 2, 8 3 Phil 2, 10 et 11 6 Joh 1, 14 7 Phil 2, 11 11 I Cor 2, 8 17 I Cor 8, 6

ALS RE FW v syr 3 Ἰησοῦς: εἷς W τοῦτον R 5 Ἰησοῦ F syr: υἱοῦ cet σημαίνεσθαι: σεμνύνεσθαι W syr 6 σὰρξ om W ἐξομολογήσεται AL, ὁμολόγηται R καὶ om W πᾶσα (ante γλῶσσα) om R E FW 7 post Χριστός add εἰς δόξαν θεοῦ (πατρός om) v (cf Phil 2, 11) καὶ W: om LF, ὥστε cet v post τόν add τε ALF 8 καταδεξάμενον E v τοῖς et τῇ om RE FW v 9 παρὰ AL R FW: ὑπὸ S E v (cf p 122, 12) 10 post ἐν add πᾶσι R τῆς om v post φύσεως add ἑαυτοῦ syr 11 ἀλλ' ὁ F τῆς om W (cf I Cor 2, 8 τὸν κύριον τῆς δόξης) 12-13 Ἰησοῦς Χριστός om R 13 post πόθεν add οὖν (vel δή), ἡμᾶς (ut vid) syr τῶν om R 14 τὴν om v 16 εἰς ἀπολογίαν: ὡς εἰς τὸ διδάσκειν ἐν πνεύματι syr 17 τελειότητος corr ex τελειώσεως R 18 τελειωτέραν R W, τελεωτέραν F ante τῆς add τῆς πίστεως R, τῆς ἀληθινῆς πίστεως syr (cf p 119, 5-6 τῆς . . . ἀληθείας τὴν συμμαχίαν) post συμμαχίαν expl A 19 ἐκκλησίας L R F syr: εὐσεβείας S, ἀληθείας E W (cf p 119, 9; 120, 2; 121, 9. 13)

ANTIRRHETICUS
ADVERSUS APOLINARIUM

CONSPECTUS SIGLORUM
(Antirrheticus)

V codex Vaticanus gr. 405 membranaceus saec. XI

G codex Venetus Marcianus gr. 496 membranaceus saec. XII

F codex Florentinus Laurentianus 7, 4 saec. XV

V^c manus correctoris codicis Vaticani gr. 405

v textus vulgatus editionis Parisinae (1638) et Mignei

l fragmenta Apolinarii quae ex Gregorii Nysseni Antirrhetico collegit Johannes Lietzmann in librum suum 'Apollinaris von Laodicea und seine Schule' (1904)

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΠΡΟΣ ΤΑ ΑΠΟΛΙΝΑΡΙΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΣ

1124 M. Καλὸν ἂν γένοιτο προοίμιον ἡμῖν τοῦ λόγου ἡ τοῦ κυρίου φωνὴ κελεύουσα προσέχειν ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται, φησί, πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. εἰ οὖν ὁ καρπὸς διακρίνει τό τε ἀληθινὸν πρόβατον καὶ τὸν τῶν προβάτων φθορέα τὸν ἐν ἡμέρῳ τῷ σχήματι πρὸς τὸ σύστημα τῆς ποίμνης ἀφυλάκτως παραδυόμενον καὶ τὸ ὑποκεκρυμμένον τῷ ἡμέρῳ πολέμιον στόμα εἰς τοὐμφανὲς ἄγει, ζητεῖν προσήκει τοὺς καρποὺς τούς τε καλοὺς καὶ τοὺς χείρονας, δι' ὧν τὸ σχῆμα τῆς ἀπάτης ἀνακαλύπτεται· φησὶ γὰρ ὅτι Ἐκ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. πάσης τοίνυν διδασκαλίας ὁ μὲν ἀγαθὸς καρπὸς κατά γε τὴν ἐμὴν κρίσιν ἡ προσθήκη τῶν κατὰ τὴν ἐκκλησίαν σῳζομένων ἐστίν, ὁ δὲ φθαρτικὸς καὶ δηλητήριος ἡ τῶν συνεστώτων διάλυσις. εἰ τοίνυν τις αὔξοι διὰ τῶν 1125 M. λόγων τὸ ποίμνιον καὶ εἰς πάντα τὰ κλίτη τῆς οἰκίας ἐκτείνοι τὴν ἄμπελον καὶ περιφυτεύσειε τῇ δεσποτικῇ τραπέζῃ τοὺς ἀπὸ τῆς ἀγριελαίου πλάνης εἰς ἐλαῶν μεταποιούμενος νεόφυτα καὶ τὰς μυστικὰς ῥάβδους ἐμβάλοι τῷ γλυκεῖ καὶ ποτίμῳ νάματι τῆς διδασκαλίας, δι' ὧν πολυγονεῖται τὰ ποίμνια ὥστε τοῦ μὲν Λαβὰν ἐλαττοῦσθαι τὴν κτῆσιν, εὐθηνεῖσθαι δὲ τὸ μέρος τοῦ Ἰακὼβ καὶ πληθύνεσθαι τῇ

1 Matth 7, 15 11 Matth 7, 16 16 Ps 127, 3 18 Gen 30, 38

VG V^cF v Tit τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν VG v, τοῦ αὐτοῦ F γρηγορίου νύσης πρὸς τὰ ἀπολιναρίου ἀντιρρητικός VG F v 3 ἐνδύματι v 6 τῷ om VG, add V^cF 13 γε: τε v 16-17 ἐκτείνει V F v, ἐκτείνῃ G, corr Jaeger 17 περιφυτεύσει V F v, περιφυτεύσῃ G, corr Jaeger 18 τοὺς G V^cF v: τῆς V ἐλαῶν V^cF: ἔλαιον VG, ἐλαιῶν v (cf Ps 127, 3 ἐλαιῶν) 19 νεόφυτα correxi (cf Ps 127, 3 νεόφυτα): νεόφυτον libri v ἐμβάλῃ v

ἐπισήμῳ γονῇ — εἰ τοιοῦτόν τις τὸν καρπὸν τῆς διδασκαλίας ἐπιδεικνύοιτο (καρπὸς γάρ ἐστι, καθὼς εἴρηται, ἡ τῆς ἀληθείας ἐπαύξησις), ἀληθῶς ἐστι προφήτης κατὰ τὸν θεῖον σκοπὸν ὑποφητεύων τῷ πνεύματι· εἰ δέ τις ἀποτίλλοι τῆς ἀμπέλου τὰς κληματίδας, ἐρημοίη δὲ τὴν θείαν τράπεζαν ἀναρριζῶν τὴν φυτείαν, ἐπιβουλεύοι δὲ τῷ πνευματικῷ ποτιστηρίῳ ὡς μηκέτι τὰ πρόβατα κατὰ τὰς ῥάβδους τοῦ πατριάρχου κισσᾶν μηδὲ ταῖς ἐπισήμοις γοναῖς πληθύνειν τὸ ποίμνιον, ἀλλ᾽ ἀποβουκολεῖσθαι τῆς τροφίμου νομῆς τουτέστι τῶν πατρικῶν παραδόσεων καὶ ἔξω τῆς μάνδρας αὐλίζεσθαι καὶ πρὸς ἀλλοτρίας νομὰς διασκίδνασθαι — ὅταν τοιοῦτος ὁ τῆς διδασκαλίας καρπὸς ᾖ, πρόδηλον ἂν γένοιτο τὸ λύκειον σχῆμα τὸ ἀποκεκρυμμένον τῇ τοῦ προβάτου δορᾷ.

Οὐκοῦν ἐξετάσωμεν, τί ἡμῖν ἡ Ἀπολιναρίου τοῦ Σύρου διδασκαλία ἐβλάστησε, προσθήκην τῶν ποιμνίων ἢ μείωσιν, συναγωγὴν τῶν διεσκορπισμένων ἢ τῶν συνεστώτων διάλυσιν, συνηγορίαν ἢ ἀνατροπὴν τῶν πατρῴων δογμάτων. εἰ μὲν οὖν πρὸς τὸ κρεῖττον ἡ σπουδὴ τοῦ προειρημένου βλέπει, πρόβατον πάντως καὶ οὐχὶ λύκος ἐστίν· εἰ δὲ τὸ ἔμπαλιν — Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, φησὶν ὁ κύριος —, μὴ λανθανέτω τὸ στόμα τὸ ἐπὶ λώβῃ καὶ ἀφανισμῷ τοῦ προσεγγίζοντος σώματος τεθηγμένον τοῖς τῆς καινοτομίας ὀδοῦσι καὶ κατασπαράσσον τὸ ὑγιὲς σῶμα τῆς τοῦ θεοῦ ἐκκλησίας. ὡς δ᾽ ἂν μὴ δοκοίη λοιδορία τὸ λεγόμενον εἶναι, ἕνα τῶν παρ᾽ αὐτοῦ περιφερομένων λόγων προθήσομεν, οὗ ἡ ἐπιγραφή ἐστιν αὕτη· Ἀπόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ᾽ ὁμοίωσιν ἀνθρώπου. τάχα δ᾽ ἄν τις δι᾽ ἀκριβείας τὸν τῆς ἐπιγραφῆς νοῦν ἀπογυμνώσας οὐκ ἂν δεηθείη δι᾽ αὐτῆς τῆς λογογραφίας ἐλέγξαι τὴν ἀτοπίαν τοῦ δόγματος.

VG VᶜF v 4 ἀποτίλλει v 5 ἐρημοίη v: ἐρημώη libri 7 ὡς VG: ὥστε VᶜF 15 τοῦ ante Ἀπολιναρίου add v 18 λήγει in marg VᶜF 26 προσθήσομεν libri v, corr Jaeger (cf 135, 8) 27 ἁ (i e αὐτή) in marg Vᶜ

Ἀπόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου. κρεῖττον δ' ἂν εἴη τὰς θείας παραθέσθαι φωνὰς εἰς ἔλεγχον τῆς καινῆς ταύτης ὀνοματοποιίας. Ὁ λόγος, φησί, σὰρξ ἐγένετο καὶ Ἡ δόξα κατεσκήνωσεν ἐν τῇ γῇ ἡμῶν καὶ Ὁ θεὸς ἐφανερώθη
1128 M. ἐν σαρκί, ὡς ἂν δι' ἑκάστου μάθοιμεν τῶν εἰρημένων ὅτι ἀεὶ ἄτρεπτον ὂν τὸ θεῖον τῇ οὐσίᾳ καὶ ἀναλλοίωτον ἐν τῇ τρεπτῇ καὶ ἀλλοιουμένῃ γίνεται φύσει, ἵνα τῷ ἰδίῳ ἀτρέπτῳ τὴν ἡμετέραν πρὸς τὸ κακὸν τροπὴν ἐξιάσηται. οὑτοσὶ δὲ φησὶν οὐ θεὸν ἐν σαρκὶ πεφανερῶσθαι, ὅπερ ταὐτόν ἐστι τῷ μὴ τὸν λόγον σάρκα γενέσθαι, τὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι τῇ ζωῇ τῶν ἀνθρώπων διὰ τοῦ δουλικοῦ προσώπου καθομιλήσαντα, ἀλλὰ θείαν τινὰ σάρκωσιν ἀνατυποῦται τῷ λόγῳ, οὐκ οἶδα τί σημαίνων τῷ ῥήματι, πότερον τροπὴν τῆς θεότητος ἀπὸ τῆς ἁπλῆς αὐτοῦ καὶ ἀσυνθέτου φύσεως εἰς σαρκώδη ἀντιτυπίαν ἀλλοιωθείσης ἢ μενούσης τῆς θείας οὐσίας ἐφ' ἑαυτῆς ἄλλην τινὰ σάρκωσιν θείαν μεθόριον τῆς τῶν ἀνθρώπων τε καὶ τοῦ θεοῦ φύσεως ἀναφανῆναι οὔτε ἄνθρωπον οὖσαν οὔτε θεόν, μετέχουσαν δέ πως ἀμφοτέρων, ἥτις τῷ μὲν σάρκωσις εἶναι συγγενῶς πρὸς τὸ ἀνθρώπινον ἔχει, τῷ δὲ θεία εἶναι κρείττων ἐστὶν ἢ κατὰ ἄνθρωπον. ἀλλὰ μὴν θεὸς εἶναι οὐ δύναται· ἁπλοῦν γὰρ τῇ φύσει τὸ θεῖόν ἐστι καὶ ἀσύνθετον· οὗ δὲ ἡ ἁπλότης, τούτου κατὰ τὸ ἴσον πάντως καὶ ἡ θεότης κεχώρισται. ἄνθρωπος δὲ αὖ πάλιν οὐκ ἔστιν· ὁ γὰρ ἐκ ψυχῆς νοερᾶς καὶ σώματος συνεστηκὼς ἄνθρωπος λέγεται· ᾧ δὲ μὴ συνεπινοεῖται τὰ δύο, πῶς ἡ τοῦ ἀνθρώπου κλῆσις ἐφαρμοσθήσεται; ἀνθρώπου γὰρ σῶμα λέγομεν καὶ ψυχὴν ἀνθρώπου, ἕως ἂν ἐφ' ἑαυτοῦ ἑκάτερον τούτων θεωρῆται· ἡ δὲ συνδρομὴ τούτων τῶν δύο ἄνθρωπος καὶ ἔστι καὶ λέγεται. τί οὖν ἐστιν ἡ θεία

4 Joh 1, 14 Ps 84, 10 5 I Tim 3, 16

VG V^cF v 10 τῷ V^cF v: τὸ VG 19 ποσῶς in marg V 20 τῷ: τὸ V 21 τῷ: τὸ V κατ' v (cf 134, 31) 23 οὐ V 24 πάντως ad κεχώρισται transloc G 30 post λέγεται deleta sunt verba haec τί οὖν ἐστιν ἡ θεία σάρκωσις ἡ μήτε ἄνθρωπος καὶ λέγεται libri

σάρκωσις ἡ μήτε ἄνθρωπος οὖσα μήτε θεός, ἣν ἀναπλάσσει ἡ τοῦ λόγου ἐπιγραφή, οὐκ ἔστιν ἐκ τῶν ἐξητασμένων εὑρεῖν.

Ἀπόδειξις, φησί, περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου. τί τοῦτο πάλιν ἐνδείκνυται, τὸ καθ' ὁμοίωσιν ἀνθρώπου; ὅτι ἡ θεία σάρκωσις ὁμοίως τῇ ἀνθρωπίνῃ συνίσταται. πότε τοῦτο; ἆρα ἐπ' ἐσχάτου τῶν ἡμερῶν; καὶ ποῦ τὸ τῆς παρθενίας μυστήριον; οὐ γὰρ καθ' ὁμοίωσιν ἀνθρώπου σαρκοῦται ὁ κύριος, καθὼς ὁ λογογράφος φησίν, ἀλλὰ θείᾳ δυνάμει καὶ πνεύματι ἁγίῳ, καθὼς τὸ εὐαγγέλιον λέγει. ἀλλὰ πρὸ τῶν αἰώνων; καὶ πῶς ὁμοιοῦται τῷ μὴ ὄντι τὸ ὄν; τελευταῖος μὲν γὰρ τῶν κατὰ τὴν κτίσιν ὁ ἄνθρωπος, ὁ δὲ κύριος βασιλεὺς πρὸ αἰώνων. κατὰ ποίου τοίνυν ἀνθρώπου ὁμοίωσιν ἐκείνη ἡ θεία σάρκωσις κατὰ τὸ προαιώνιον γίνεται; κατὰ τὴν τοῦ Ἀδάμ; ἀλλ' οὔπω ἦν. ἀλλὰ καθ' ἕτερόν τινα ἄνθρωπον; καὶ τίς οὗτος ὁ προνοούμενος τοῦ Ἀδὰμ ἄνθρωπος, ἵνα κατὰ τὸ ἐγκείμενον ὑπόδειγμα ὁμοιωθῇ τοῦ θεοῦ ἡ
1129 M. σάρκωσις; τὸ γὰρ ὅμοιον τῷ ὄντι πάντως, οὐ τῷ μὴ ὄντι ὅμοιον γίνεται. ὥστε δύο κατ' αὐτὸν φαίνεται τῷ λόγῳ τὰ ἄτοπα· ἢ γὰρ πρεσβύτερον εὑρίσκεται τὸ πλάσμα τοῦ πλάσαντος ἢ τῷ μὴ ὄντι ὁμοιοῦται τὸ θεῖον σαρκούμενον· κατ' ἀρχὰς γὰρ ἡ μὲν θεότης ἦν, ὁ δὲ Ἀδὰμ οὐκ ἦν. οὐκοῦν εἰ καθ' ὁμοίωσιν ἀνθρώπου σαρκοῦται ἡ θεία φύσις, τῷ μὴ ὄντι ὁμοιοῦται ἡ θεία σάρκωσις· τὸ δὲ τῷ μὴ ὄντι ὁμοιούμενον οὐδ' ἂν αὐτὸ πάντως εἴη. ἀλλ' ἕτερόν τινα τρόπον παρὰ τὸν ἀνθρώπινον τὴν σάρκωσιν ἐκείνην γεγενῆσθαί φησιν. καὶ τίς τῶν ἑτεροφυῶν ἡ ὁμοίωσις; εἰ οὖν μήτε κατὰ τὸ προαιώνιον ἐνδέχεται τὴν θείαν σάρκωσιν καθ' ὁμοίωσιν ἀνθρώπου γενέσθαι μήτε ἐπὶ τοῦ ἐσχάτου τῶν χρόνων, ὅτε κατὰ ἄνθρωπον ἡ τοῦ κυρίου οἰκονομία, καθ' ἣν ἐν

VG V^{c}F v 1 ἣν V^{c}F: ἢ τί VG 2 ἀναγραφὴ VG 8 ἐσχάτων v 13 κύριος om VG 20 κατὰ ταὐτὸν in marg V^{c}F 23 γὰρ ἡ μὲν V^{c}F v: ἡμῖν VG 26 ἂν om v 28 τίς . . . ὁμοίωσις VG v: τῇ . . . ὁμοιώσει V^{c}F 31 ὅτ' ἡ VG, ἡ κ. ἄ. Jaeg e

σαρκὶ θεὸς ἐφανερώθη, καθ' ὁμοίωσιν ἀνθρώπου ἡ σάρκωσις γίνεται (οὐ γὰρ παραδέχεται τὴν τοιαύτην ἔννοιαν τὸ κατὰ τὴν παρθενίαν μυστήριον), μάτην ἂν εἴη κατ' ἀμφοτέρας τὰς ἐννοίας ταύτην τοῦ λόγου τὴν ἐπιγραφὴν ποιησάμενος. ὅτι μὲν οὖν ἀνεπίσκεπτος ἡ ἐπιγραφὴ καὶ οὐδενὶ συνεστῶτι ἐπερειδομένη νοήματι, μετρίως οἶμαι διὰ τῶν εἰρημένων πεφανερῶσθαι τοῖς ἐπιστατικῶς ἐπαΐουσιν.

Καιρὸς δ' ἂν εἴη καὶ αὐτὸν προθεῖναι τῇ ἐξετάσει τὸν λόγον τὸν ὑπὸ τῆς γραφῆς ταύτης δηλούμενον. γράψω δὲ τὰ πρῶτα τῇ ἐμαυτοῦ λέξει δι' ὀλίγων ἐπιδραμὼν τὴν διάνοιαν, ἐν οἷς ἀκίνδυνόν ἐστι τὸ παραδραμεῖν τῶν γεγραμμένων τι ἀνεξέταστον. Μόνον, φησί, τὴν εὐσεβῆ πίστιν ἀγαθὸν ἦν νομίζεσθαι· μηδὲ γὰρ τῇ Εὔᾳ συνενεγκεῖν τὴν ἀνεξέταστον πίστιν· ὥστε προσῆκε καὶ τὴν τῶν Χριστιανῶν ἐξητασμένην εἶναι, μή που λάθῃ ταῖς τῶν Ἑλλήνων ἢ τῶν Ἰουδαίων συνεμπεσοῦσα δόξαις. ταῦτα διὰ πλειόνων προοιμιασάμενος ἐπάγει τὸν λόγον εἰπὼν ὅτι Παρὰ τοῖς ἀπίστοις καὶ ταῖς αἱρέσεσι προτεθρύλληται τὸ μὴ δυνατὸν εἶναι θεὸν ἄνθρωπον γενέσθαι καὶ πάθεσιν ὁμιλῆσαι, ὃ καὶ παρὰ ταῖς αἱρέσεσιν ἐπὶ σχήματι πίστεως εἰσάγεται ἄνθρωπον ἔνθεον διὰ τὴν ἐκ γυναικὸς γέννησιν καὶ διὰ τὰ πάθη λεγούσαις τὸν Χριστόν. τίνας μὲν οὖν οἶδεν αἱρέσεις, αἳ τὸν Χριστὸν ἔνθεον ἄνθρωπον λέγουσιν, αὐτὸς ἂν εἰδείη καὶ εἴ τις τὰ ἐκείνου πεπαίδευται· ἡμεῖς δὲ πολλοῖς ἐπιδεδημηκότες τόποις καὶ κατὰ σπουδὴν τοῖς τε κοινωνοῦσι τοῦ δόγματος τοῖς τε ἀφεστηκόσι περὶ τῶν κατὰ τὸν λόγον ζητουμένων καθομιλήσαντες, οὔπω τινὸς ἀκηκόαμεν τὴν τοιαύτην
1132 M. ῥήξαντος περὶ τοῦ μυστηρίου φωνήν, ὅτι ἄνθρωπος ἔνθεος ὁ Χριστὸς ἦν. τὸν τοίνυν μέλλοντα διορθοῦσθαι μὲν τὰς

VG V^c F v l 2 post τὸ add γὰρ VG 8 καιρὸς VG v l: κέρδος V^c F 9 ἐπιγραφῆς V^c F 13 ἦν VG v: δεῖν V^c F v l 16 ἢ VG v l: καὶ V^c F 23 γέννεσιν V^c F

ἠπατημένας περὶ τοῦ δόγματος ὑπολήψεις, ἀντεισάγειν δὲ τὰς εὐσεβεστέρας μὴ ἀναπλάσσειν ἑαυτῷ τὰ μὴ ὄντα καὶ πρὸς τὰ ἀνύπαρκτα μάχεσθαι προσῆκον ἦν, ἀλλὰ πρὸς τὰ λεγόμενα παρὰ τῶν ἀντιδιατιθεμένων ὁπλίζεσθαι. οὐδὲ γὰρ τῶν ἰατρῶν οἱ ἐπιστήμονες πρὸς τὰ μὴ ὄντα πάθη τὴν ἑαυτῶν τέχνην ἀντεισάγουσιν, ἀλλὰ πρὸς τὸ γεγονὸς ἤδη νόσημα διὰ τῆς ἐπιστήμης ἵστανται. ἢ τοίνυν δειξάτω τὸν εἰρηκότα μὴ θεὸν ἐν σαρκὶ πεφανερῶσθαι, ἀλλ' ἔνθεον ἄνθρωπον τὸν Χριστὸν εἶναι, εἶτα καὶ τὸν λόγον αὐτοῦ ὡς οὐ μάτην πεποιημένον παραδεξόμεθα, ἢ ἕως ἂν ἡ τοιαύτη μὴ εὑρίσκηται νόσος, μάταιον εἶναι πάντες ὁμολογήσουσι τὸ τοῖς μὴ οὖσι συμπλέκεσθαι.

Ἀλλ' οὐκ εἰκῇ τὴν τοιαύτην τῆς λογογραφίας ἀνάγκην ἑαυτῷ σχηματίζεται· ἀλλ' ὡς ἂν ὁδόν τινα καὶ ἀκολουθίαν πρὸς τὴν κατασκευὴν τοῦ καθ' ἑαυτὸν δόγματος λάβοι, τὸ μὴ λεχθὲν ὡς εἰρημένον ὑπέθετο, ἵνα τῷ πρὸς ταῦτα δοκεῖν ἀγωνίζεσθαι διὰ τῆς ἐσχηματισμένης ἀντιρρήσεως κατασκευάσῃ τὸ θνητὸν εἶναι τὸ θεῖον. ἅπας γὰρ αὐτῷ τῆς λογογραφίας ὁ σκοπὸς πρὸς τοῦτο βλέπει, τὸ θνητὴν εἶναι τοῦ μονογενοῦς υἱοῦ τὴν θεότητα καὶ οὐχὶ τῷ ἀνθρωπίνῳ τὸ πάθος δέξασθαι, ἀλλὰ τὴν ἀπαθῆ καὶ ἀναλλοίωτον φύσιν πρὸς πάθους μετουσίαν ἀλλοιωθῆναι. ὅθεν πρὸς τί μὲν αὐτῷ χρήσιμον ὁ λόγος βλέπει, εἰδεῖεν ἂν οἱ τῶν μυστηρίων αὐτοῦ ἐπιίστορες· ἃ δὲ ἡ ἀκολουθία καὶ τοῖς ἄγαν νηπίοις προδείκνυσι, τοιαῦτά ἐστιν, οἷα μηδ' ἂν τοὺς ἀθεωτάτους τῶν Ἑλλήνων εἰπεῖν. εἰ γὰρ αὐτὴ τέθνηκε τοῦ μονογενοῦς ἡ θεότης, συναπέθανε ταύτῃ πάντως καὶ ἡ ζωὴ καὶ ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀγαθότης καὶ τὸ φῶς καὶ ἡ δύναμις· ταῦτα γὰρ κατὰ διαφόρους ἐπιβολὰς ὁ μονογενὴς θεὸς καὶ ἔστι καὶ λέγεται. ἁπλοῦς δὲ ὢν καὶ ἀμερὴς καὶ ἀσύνθετος,

VG V^cF v 9 εἶναι, εἶτα V^cF: εἶναι G, εἶτα V v 10 δ' ante ἂν add V^cF 11 εὑρίσκεται libri v, correxi τῷ V 14 σχηματίζεσθαι VG 15 καθ' ἑαυτοῦ v 17-18 κατασκευάσει v 19 εἶναι om v 23 οἱ om v 24 ἐπίστορες VG v 27 συνέπαθε VG

ὅπερ ἂν λέγηται, ὅλος ἐστίν, οὐκ ἐν μέρει τοῦτο καὶ ἐν μέρει τὸ ἕτερον ὥστε ἑνὸς ὄντος πάντα ἐν αὐτῷ νοεῖσθαι καὶ μὴ ὄντος τὰ πάντα συνδιαγράφεσθαι. εἰ οὖν ἠφανίσθη τῷ θανάτῳ τὸ θεῖον, συνηφανίσθη τῷ θανάτῳ πάντα τὰ συνημμένως περὶ τὴν αὐτοῦ θεότητα θεωρούμενα. ἀλλὰ μὴν οὐχ ἁπλῶς δύναμις ὁ Χριστός, ἀλλὰ θεοῦ δύναμις καὶ θεοῦ σοφία. ὅτε οὖν ταῦτα τῇ θεότητι τοῦ υἱοῦ διὰ τοῦ θανάτου συγκατεσβέσθη, οὐχ ἦν παρὰ τῷ πατρὶ θεοῦ σοφία, οὐ δύναμις, οὐ ζωή, οὐκ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον ὀνομαζομένων οὐδέν· θεοῦ γὰρ πάντα ταῦτα εἶναι <καὶ πάντα> τὰ τοῦ πατρὸς ἐν αὐτῷ εἶναι πιστεύεται, ἅπερ ὄντος μὲν τοῦ υἱοῦ ἔστι, μὴ ὄντος δὲ πάντως οὐκ ἔστι διὰ τὸ ἐν αὐτῷ
1133 M. εἶναι πάντα τὰ τοῦ πατρὸς ὁμολογεῖσθαι. εἰ οὖν ἐναπεσβέσθη τῷ θανάτῳ ἡ δύναμις, Χριστὸς δὲ θεοῦ ἐστι δύναμις, ποία πάλιν ἐκ τοῦ μὴ ὄντος ἀνεκλήθη δύναμις τῆς μὲν οὔσης τῷ θανάτῳ ἀφανισθείσης, ἑτέρας δὲ οὐχ ὑπολειφθείσης; τὴν γὰρ τοῦ πατρὸς δύναμιν ἐν τῷ υἱῷ εἶναι καὶ παρὰ τῶν μαχομένων ἡμῖν ὁμολογεῖται. εἰ οὖν μία ἡ δύναμις, αὕτη δὲ ὑπὸ τοῦ θανάτου δυναστευθεῖσα εἰς ἀφανισμὸν μετεχώρησεν ἐν τῷ καιρῷ τῆς τοῦ πάθους οἰκονομίας, τίς ἄλλη δύναμις παρ' αὐτὸν ἀναπλάττεται ἡ ταύτην ἐκ τοῦ θανάτου ἀνακαλουμένη τὴν δύναμιν; εἰ γὰρ τοῦτο λέγοιεν ὅτι ἡ μὲν ἀπέθανεν, ἡ δὲ ἀθάνατος ἔμεινεν, οὐκέτι ἐν τῷ υἱῷ τὴν τοῦ πατρὸς δύναμιν εἶναι ὁμολογήσουσι καὶ οὕτως ἐκ τοῦ ἀκολούθου τὰς αὐτοῦ τοῦ κυρίου φωνὰς παραγράψονται ὡς οὐκ ἀληθῶς ἐχούσας, αἳ πάντα τὰ τοῦ πατρὸς τοῦ υἱοῦ εἶναι διαμαρτύρονται. ὁ γὰρ πάντα ἔχων τὰ τοῦ πατρὸς καὶ τὴν ἀθανασίαν πάντως τοῦ πατρὸς ἐν ἑαυτῷ ἔχει· ἡ δὲ ἀθανασία, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, ἀμίκτως τε καὶ ἀκοινωνήτως πρὸς τὸν θάνατον ἔχει. εἰ οὖν θνητὴν λέγουσι τοῦ υἱοῦ τὴν θεότητα,

VG V^cF v 1 τοῦτο καὶ ἐν μέρει om VG 10 καὶ πάντα inserui 10-11 εἶναι ταῦτα ὁ υἱὸς λέγεται καὶ πάντα τοῦ πατρὸς in marg V^cF 13 ἀπεσβέσθη VG v (cf 8 συγκατεσβέσθη) 18 ὡμολόγηται V^cF 25 αὐτὰς V^cF παραγράφονται libri v, correxi 26 ante τοῦ υἱοῦ add τὰ V^c v 28 ἑαυτῷ V^cF: αὐτῶ G v, αὐτῶ V (cf 138, 1) ἂν ᾖ V^cF: ᾗ G, εἰ V v (cf 196, 28)

τὸ μὴ ἔχειν αὐτὸν ἐν ἑαυτῷ τὴν τοῦ πατρὸς ἀθανασίαν κατασκευάζουσιν. ἀλλὰ μὴν ἀληθεύει ὁ λέγων ὅλον ἔχειν ἐν ἑαυτῷ τὸν πατέρα. ψεύδεται ἄρα ὁ θνητὸν κατασκευάζων τοῦτον ᾧ πᾶσα ἡ τοῦ πατρὸς ἀϊδιότης ἐγκαθορᾶται. ἐπεὶ οὖν μία πατρὸς καὶ υἱοῦ κατὰ τὸν λόγον τῶν εὐσεβούντων ἡ δύναμις (ἐν γὰρ τῷ πατρὶ τὸν υἱὸν βλέπομεν καὶ ἐν τῷ υἱῷ τὸν πατέρα), σαφῶς ἀποδείκνυται, ὅτι τὸ μὲν ἐμπαθὲς τῇ φύσει τὸν θάνατον δέχεται, τὸ δὲ ἀπαράδεκτον πάθους ἐν τῷ παθητῷ τὴν ἀπάθειαν ἐνήργησεν.

Ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. λέξω δὲ πάλιν τῇ ἐμαυτοῦ φωνῇ συνελὼν ἐν βραχεῖ τὴν διάνοιαν. φησὶ γὰρ τὸ ἄνθρωπον ἔνθεον τὸν Χριστὸν ὀνομάζειν ἐναντίον μὲν εἶναι ταῖς ἀποστολικαῖς διδασκαλίαις, ἀλλότριον δὲ τῶν συνόδων· Παῦλον δὲ καὶ Φωτεινὸν καὶ Μάρκελλον τῆς τοιαύτης διαστροφῆς κατάρξαι. εἶτα κατὰ τοὺς δεινοὺς τῶν ἀγωνιστῶν ὥσπερ συμπλακεὶς τῷ προσδιαλεγομένῳ καὶ εὑρὼν τὸν αὐθέντην τοῦ ῥήματος τοῦτό φησι· Πῶς ἐρεῖς ἐκ γῆς ἄνθρωπον τὸν ἐξ οὐρανοῦ καταβεβηκέναι μαρτυρούμενον ἄνθρωπον καὶ υἱὸν ἀνθρώπου τὸν θεὸν καὶ θεοῦ υἱὸν ἀναγορευόμενον; πάλιν ἐν τούτοις ἡ κατασκευὴ τῶν προλαβόντων ἑτέρας ἀτοπίας ἐστὶν ἀρχή· ἵνα γὰρ δείξῃ θεὸν τεθνηκότα, οὐδὲν ὅλως καταδέχεται τῆς γηΐνης φύσεως περὶ αὐτὸν θεωρεῖσθαι, ἐπειδὴ ὅλως τῇ
1136 M. γῇ συγγενῶς ἔχειν δοκεῖ τὸ κατὰ θάνατον πάθος. Οὐκ ἔστι, φησίν, ἐκ γῆς ἄνθρωπος ὁ ἐξ οὐρανοῦ καταβὰς ἄνθρωπος. ἄνθρωπος μέντοι, καὶ εἰ ἐξ οὐρανοῦ καταβέβηκεν· οὐ γὰρ ἀρνεῖται τὴν τοιαύτην προσηγορίαν ἐν τοῖς εὐαγγελίοις ὁ κύριος. πῶς οὖν ἐν τοῖς εἰρημένοις τὸ ἀκόλουθον σῴζει; εἰ μὴ ἐκ γῆς ὁ ἄνθρωπος, ἀλλ' ἐξ οὐρανοῦ πρὸς ἡμᾶς καταβαίνει,

VG V^c^F v l 1 αὐτὸν ἐν ἑαυτῷ V^c^F: ἐν ἑαυτῷ G, ἐν αὐτῷ V 2 ὅλην V 10 τὰ V 11 ἐμαυτοῦ: ἐμαυτοῦ (μ sscr) G, ἑαυτοῦ ceteri v l 13 μὲν om v 17 ὡς προσεμπλακεὶς v προσδιαλεγομένῳ G V^c^F: διαλεγομένῳ V v 20-21 τὸν θεὸν καὶ θεοῦ υἱὸν om VG v 31 πρὸς ἡμᾶς καταβαίνει G: καταβ. πρ. ἡμ. ceteri v

πῶς ἀνθρώπου υἱὸς ὁ ἐξ οὐρανοῦ καταβαίνων λέγεται; δώσει γὰρ πάντως, ὥσπερ ἐπὶ τῆς γῆς προεπινοοῦμεν τῶν υἱῶν τοὺς πατέρας, οὕτω καὶ ἐπὶ τοῦ κατ᾽ αὐτὸν οὐρανόθεν ἥκοντος ἀνθρώπου, ἐπειδὴ υἱὸς ἀνθρώπου λέγεται, μὴ εἰκῆ πατρόθεν κατονομάζεσθαι, ἀλλ᾽ εἶναι αὐτοῦ κατὰ τὸ ἀνθρώπινον ἐν οὐρανῷ προθεωρούμενον πατέρα ἄλλον ἄνθρωπον. εἰ γὰρ στηρίζεται τούτῳ τῷ ῥήματι τῷ εἰρηκότι Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐξ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ διὰ τοῦτο τῆς πρὸς τὸν γήϊνον ἄνθρωπον συγγενείας αὐτὸν ἀποσχίζει, ἐκ τοῦ οὐρανοῦ ἥκοντα υἱὸν ἀνθρώπου λέγων· δώσει τινὰ πάντως τοῦ καταβάντος πρὸς ἡμᾶς ἄλλον ἐν οὐρανῷ τοιοῦτον πατέρα, ὥστε καὶ ἐν τῇ οὐρανίῳ ζωῇ ἔθνη ἀνθρώπων καὶ δήμους καὶ πατριὰς καὶ πάντα, ὅσα κατὰ τὸν τῇδε βίον ἔστιν, ὑπονοεῖσθαι. εἰ οὖν τὸ ἐξ οὐρανοῦ ἧκον ἀνθρώπου ἐστὶν υἱός, τὸ δὲ ἐκ Μαρίας ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα γεγεννημένον ἄνωθεν δὲ ἀνθρώπου υἱὸς ὠνόμασται, ψευδῶς κατ᾽ αὐτοὺς υἱὸς θεοῦ λέγεται μήτε τοῦ οὐρανίου μήτε τοῦ γηΐνου πρὸς τὸ θεῖον οἰκειουμένου. ἀλλὰ συναγαγὼν ἑαυτῷ πρὸς τὸ κεφάλαιον τὰ εἰρημένα ἐν τούτῳ συμπεραίνει τὸν λόγον· Εἰ δὲ καὶ ἐξ οὐρανοῦ υἱὸς ἀνθρώπου καὶ ἐκ γυναικὸς υἱὸς θεοῦ, πῶς οὐχ ὁ αὐτὸς θεὸς καὶ ἄνθρωπος; ἐγὼ δὲ τὸ μὲν τὸν αὐτὸν ἄνθρωπον καὶ θεὸν πιστεύειν εἶναι φημὶ καὶ παντὸς εἶναι τοῦ τὸν ὀρθὸν λόγον πρεσβεύοντος, οὐ μὴν κατὰ τὴν τοῦ λογογράφου διάνοιαν· οὔτε γὰρ τὸ θεῖον γήϊνον οὔτε ἀνθρώπινον τὸ οὐράνιον, καθὼς ἐκεῖνος οἴεται· ἀλλ᾽ ἄνωθεν μὲν ἡ τοῦ ὑψίστου δύναμις διὰ τοῦ ἁγίου πνεύματος ἐν τῇ ἀνθρωπίνῃ φύσει ἐπεσκιάσθη, τουτέστιν ἐνεμορφώθη, ἐκ δὲ τῆς ἀμιάντου παρθένου ἡ τῆς σαρκὸς μοῖρα συνηφανίσθη καὶ οὕτω τὸ ἐν αὐτῇ γεννηθὲν υἱὸς ὑψίστου κατωνομάσθη· τῆς μὲν θείας

7 Joh 3, 13   27 Luc 1, 35

VG V^cF v 11 ἄνθρωπον v 14 καὶ πατριὰς om VG v 19 τὸ om F 29 ἐπεσκιάσθη corr Jaeger: ἐνεσκιάσθη libri v, in margine τί ἐστι καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι libri 30 συνηρανίσθη g V^cF v (-ερ-V), correxi

δυνάμεως τὴν πρὸς τὸν ὕψιστον ἀγχιστείαν, τῆς δὲ σαρκὸς τὴν ἀνθρωπίνην οἰκειουμένης συγγένειαν.

Ἀλλὰ θεὸς μέν, φησί, τῷ πνεύματι τῷ σαρκωθέντι, ἄνθρωπος δὲ τῇ ὑπὸ τοῦ θεοῦ προσληφθείσῃ σαρκί. τί ἐστι πάλιν τοῦ πνεύματος σάρκωσις ἐκτὸς τῆς πρὸς τὴν ἡμετέραν σάρκα ἑνώσεως; πόθεν δὲ προσελήφθη ἄνθρωπος, εἰ μὴ ἐκ τοῦ πρώτου ἀνθρώπου, οὗ τὴν πρώτην γένεσιν ἐκ γῆς, οὐκ ἐκ τοῦ οὐρανοῦ γενεαλογοῦντος τοῦ Μωυσέως ἠκούσαμεν; λαβὼν γὰρ ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν· ἄλλην δὲ ἀνθρώπου
1137 M. κατασκευὴν ἐξ οὐρανοῦ συστῆναι παρ' οὐδενὸς μεμαθήκαμεν. εἶτα ἐπάγει τοῖς εἰρημένοις ὅτι Τὸ μυστήριον ἐν σαρκὶ ἐφανερώθη, καλῶς τοῦτο λέγων, οὗτος ὁ ἡμέτερος λόγος, καὶ ὅτι Ὁ λόγος σὰρξ ἐγένετο κατὰ τὴν ἕνωσιν, καὶ ταῦτα τῆς ὑγιαινούσης φωνῆς ἐστι τὰ ῥήματα· ὁ γὰρ ἡνῶσθαι τῇ σαρκὶ τὸν λόγον εἰπὼν οὐδὲν ἕτερον ἢ τῶν δύο τὴν συνδρομὴν λέγει. Ἀλλ' οὐκ ἄψυχος, φησίν, ἡ σάρξ· στρατεύεσθαι γὰρ κατὰ τοῦ πνεύματος εἴρηται καὶ ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοός. ὑπέρευγε τῆς εὐγνωμοσύνης! οὐκ ἄψυχον τῷ θεῷ περιπλάσσει τὴν σάρκα. οὐκοῦν ἐρωτήσωμεν, εἰ ἔμψυχος προσελήφθη παρὰ τοῦ θεοῦ λόγου ἡ σάρξ, καθώς φησιν ὁ λογογράφος· ἔμψυχα δέ φαμεν καὶ τῶν ἀλόγων τὰ σώματα· ὁ ἀνθρωπίνην σάρκα καὶ ταύτην ἔμψυχον προσοικίζων τῷ λόγῳ οὐδὲν ἕτερον ἢ ὅλον συνάπτει τὸν ἄνθρωπον· οὐδὲν γὰρ ἄλλο παρὰ τὴν νοερὰν φύσιν τῆς ἀνθρωπίνης ψυχῆς ἐστιν ἰδίωμα διὰ τὸ ἐν πᾶσι τοῖς ἄλλοις κοινωνίαν εἶναι ἡμῖν πρὸς τὰ ἄλογα· τὸ ἐπιθυμητικόν, τὸ θυμοειδές, ἡ κατὰ τροφὴν ὄρεξις, ἡ πρὸς τὴν αὔξησιν δύναμις, ὁ κόρος, ὁ ὕπνος, ἡ πέψις,

9 Gen 2, 7   12 I Tim 3, 16   14 Joh 1, 14   18 Rom 7,23

VG V^c F v   1 πρὸ V V^c   2 οἰκειουμένη V   7 ἀνθρώπου om V   8 verba οὗ — οὐρανοῦ om V G   11 συστῆσαι VG v   19 παντὶ στρατεύεσθαι libri   in marg ἀντὶ libri   νοός libri: νόμου v   19-20 ὑπέρευγε τῆς εὐγνωμοσύνης om F   20 ἀγνωμοσύνη V V^c v l   21 εἰ: ἡ F   29 verba ἡ — δύναμις om v

ἡ ἀλλοίωσις, ἡ τοῦ ἀχρειωθέντος ἐκποίησις, πάντα κατὰ τὸ ἴσον ἐν ἡμῖν καὶ τοῖς ἀλόγοις διά τινος ψυχικῆς δυνάμεως οἰκονομεῖται. ὁ τοίνυν λέγων ἄνθρωπον εἶναι τὸν προσειλημμένον, ἔμψυχον δὲ τοῦτον διδοὺς οὐδὲν ἕτερον ἢ καὶ νοητὴν αὐτῷ προσεμαρτύρησε δύναμιν, ὅπερ ἴδιον τῆς ἀνθρωπίνης ἐστὶ ψυχῆς, ἐξ αὐτῶν, ὧν παρέθετο ἡμῖν, τῶν τοῦ ἀποστόλου ῥημάτων· ὁ γὰρ εἰπὼν ὅτι Τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν (τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται) τῆς προαιρετικῆς τε καὶ διανοητικῆς δυνάμεως ἐναργῆ τὰ ἰδιώματα λέγει· τὸ γὰρ ἐπιπειθῶς ἢ ἀντιτύπως πρὸς τὸν νόμον ἔχειν προαιρέσεως ἴδιον αὐτό τε τὸ τοῦ φρονήματος ὄνομα οὐκ ἄν τις τῆς κατὰ τὸ φρονεῖν ἐνεργείας ἀποχωρίσειεν. τὸ δὲ φρονεῖν ταὐτὸν εἶναι τῷ νοεῖν οὐδ' ἂν τῶν κομιδῇ τις νηπιαζόντων ἀντείποι· ὅ τε ἀντιστρατευόμενος καὶ αἰχμαλωτίζων πῶς ἂν τῆς ἐνεργείας τοῦ νοεῖν ἀμοιρήσειεν; οὐ γὰρ τὸ πρὸς τὰ φαῦλα κινεῖσθαι τοῖς κακοῖς τὴν προαίρεσιν ἀπόδειξις τοῦ μὴ εἶναι νοῦν ἐν ἐκείνοις ἐστίν, ἀλλὰ καλῆς μὲν διανοίας ἐκτός εἰσι, νοοῦσι δὲ ὅμως· ἐπεὶ καὶ τὸν ὄφιν ἐκεῖνον, ὃν δὴ τῆς κακίας ἀρχηγὸν καὶ εὑρετὴν παρὰ τῶν γραφῶν ἐδιδάχθημεν, οὐκ ἀνόητον εἶναί φησιν ὁ θεόπνευστος λόγος, πλείονα τῶν ἄλλων προσμαρτυρῶν τούτῳ τὴν φρονιμότητα.

Οὐκοῦν ἐξ αὐτῶν, δι' ὧν οἴεται συνιστᾶν τὸν ἑαυτοῦ λόγον, αἱ παρατεθεῖσαι ἡμῖν φωναὶ τὸ ἀσεβὲς τοῦ κατ' αὐτὸν δόγματος διελέγχουσιν. οὐ γὰρ ἐν τούτοις μόνοις ὁ ἀπόστολος ἀνθίστησι τὴν σάρκα τῷ πνεύματι, τουτέστι τὴν πονηρὰν 1140 M. προαίρεσιν τῇ ἀστειοτέρᾳ ζωῇ, ἀλλὰ καὶ πρὸς Κορινθίους φησὶ τὸ ἐμπαθὲς αὐτοῖς ὀνειδίζων ὅτι Σάρκινοί ἐστε. ἆρα κατὰ τὸν χρόνον ἐκεῖνον, καθ' ὃν πρὸς αὐτοὺς ὁ λόγος ἐγένετο, κατὰ τὴν τριμερῆ τοῦ Ἀπολιναρίου τῶν ἀνθρώπων τομὴν ἀμέτοχοι τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἦσαν οἱ ἄνθρωποι; ἢ πάντως ἐκ τῆς ἀμέτρου πρὸς τὴν σάρκα διαθέσεως

7 Rom 8, 7 18 Gen 3, 1 28 I Cor 3, 3

VG VcF v 4 ἢ: εἰ VG 13 τῷ: ex τὸ corr G, τὸ V 16 τὸ om VG v 24 παρατιθεῖσαι libri, corr. Jaeger 25 μόνοις V v: μόνον ceteri

σάρκινοι παρὰ τοῦ Παύλου προσηγορεύθησαν ἐκ τοῦ πλεονάζοντος τὴν ἐπωνυμίαν λαβόντες; καὶ δείκνυσι τὸν τοιοῦτον λόγον ἡ σύμφρασις τῶν γεγραμμένων· Ὅπου γὰρ ἐν ὑμῖν, φησί, ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί ἐστε; τὸ δὲ ζηλοῦν καὶ ἐρίζειν τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἐστίν. τὰ δὲ τούτων ἐχόμενα τῆς λογογραφίας ἀπόδειξιν δῆθεν περιέχει διὰ πλειόνων μαρτυριῶν τοῦ ἐκ τριῶν συνεστάναι τὸν ἄνθρωπον, ἀπὸ σαρκός τε καὶ ψυχῆς καὶ νοῦ, ἅπερ οὐ πόρρω τοῦ καθ' ἡμᾶς ἐστι λόγου. ταὐτὸν γάρ ἐστιν ἐκ νοερᾶς ψυχῆς καὶ σώματος τὸν ἄνθρωπον λέγειν καὶ ἰδιαζόντως τὸν νοῦν ἐφ' ἑαυτοῦ ἀριθμήσαντα τριχῇ διελεῖν τὴν περὶ τὸν ἄνθρωπον θεωρίαν· εἰ καὶ ὅτι πολλὰς τοῖς αἱρετικοῖς δίδωσιν ὁ λόγος ἐν τούτῳ λαβάς· δύναται γάρ, εἰ τὸ νοητικὸν ἐφ' ἑαυτοῦ τις ἀριθμοίη, ἑτέραν τοῦ θυμοειδοῦς τὴν περιγραφὴν λέγειν καὶ τοῦ ἐπιθυμητικοῦ πάλιν ἑτέραν. ἴσως δ' ἄν τις καὶ τὰ λοιπὰ τῆς ψυχῆς κινήματα κατὰ τὸν λόγον ἐξαριθμούμενος πολυσχιδῆ τινα καὶ πολυσύνθετον ἀντὶ τοῦ τριμεροῦς ἀποδείξειε τὸν ἄνθρωπον.

Ἀλλ' ἐάσθω ταῦτα, ὡς ἂν μὴ τοῖς καθ' ἕκαστον ἐπεξιόντες εἰς ἀμετρίαν ἐκτείνωμεν τὴν ἀντίρρησιν, πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν. κατασκευάσας γὰρ διὰ πολλῶν τὸ τριφυὲς ἢ τριμερὲς ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν τὸ ἀνθρώπινον σύγκριμα, μέμνηταί τινων καὶ δογμάτων συνοδικῶν τῶν τε κατὰ Παύλου τοῦ Σαμωσατέως συνειλεγμένων λέγοντος Ἐξ οὐρανοῦ ἀποτεθεῶσθαι τὸν κύριον· καὶ τοῦ κατὰ Νίκαιαν ἐκφωνηθέντος, οὗ τὴν ῥῆσιν ἐπὶ λέξεως τοῦτον τὸν τρόπον εἰρημένην παρέθετο τὸ Ἐξ οὐρανοῦ καταβάντα καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα. καὶ ταῦτα εἰπὼν ὡς προκατασκευάσας τὸν μέλλοντα ῥηθήσεσθαι λόγον οὕτως ἀπογυμνοῖ τοῦ ἰδίου βουλήματος τὴν διάνοιαν καί φησιν οἱονεὶ προσοικειῶν τοῖς ἀποδεδειγμένοις

3 I Cor 3, 3

VG V^cF v l 4 σάρκινοι V^cF 7 συνεστάναι: συνεστᾶναι libri, συνιστάναι v l 16 πολυσχεδῆ V 17 ἀποδείξει libri, corr Jaeger 24 Σαμοσατέους G 31 προαποδεδειγμένοις V^cF l

οὕτω κατὰ τὴν λέξιν· Τὸ δὴ πνεῦμα, τουτέστι τὸν νοῦν, θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος εἰκότως ἄνθρωπος ἐξ οὐρανοῦ λέγεται. 1141 M. τί κοινὸν ἔχει τὰ εἰρημένα πρὸς τὰ προάγοντα; ποῦ τοῦτο ἡ κατὰ τοῦ Σαμωσατέως ἐδογμάτισε σύνοδος; ἀλλ' ἐῶ τὰ τῆς μνήμης ἡμῶν πρεσβύτερα. τί τοιοῦτον ἐν τοῖς κατὰ Νίκαιαν δόγμασιν ἔδειξεν; τὸν καταβάντα ἐκ τῶν οὐρανῶν ἡ πίστις λέγει καὶ σαρκωθέντα, ὡς μὴ πρὸ τῆς καθόδου νοεῖσθαι τὴν σάρκα, ἀλλὰ δευτερεύειν μετὰ τὴν κάθοδον τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα; τοῦτο παρὰ πάντων ἐν ἐκκλησίαις κηρύσσεται καὶ οὗτος ἡμέτερος, μᾶλλον δὲ τῆς ἐκκλησίας ὁ λόγος. ποῦ τοίνυν ἐν τοῖς εἰρημένοις ἐστίν, ὅτι τὸ πνεῦμα, τουτέστι τὸν νοῦν, θεὸν ἔχων ὁ Χριστὸς μετὰ ψυχῆς καὶ σώματος ἐξ οὐρανοῦ ἄνθρωπος λέγεται; εἴτε γὰρ ἐπὶ τῆς λέξεως ψιλῆς ἐξετάζοις τὸν λόγον εἴτε καὶ τὴν τῶν εἰρημένων διάνοιαν, ἐν οὐθετέρῳ τὸ ῥηθὲν εὑρεθήσεται. ἡ μὲν γὰρ λέξις τοσοῦτον ἀπέχει τῆς λέξεως καθ' ὅσον ἀπέχουσι, ψαλμικῶς εἰπεῖν, ἀνατολαὶ ἀπὸ δυσμῶν· ἡ δὲ διάνοια τῶν εἰρημένων τί κοινὸν πρὸς τὰ δι' ἐκείνης δηλούμενα δείκνυσιν; φησὶν οὗτος τὸν σαρκωθέντα τῇ ἀνθρωπίνῃ σαρκὶ Χριστὸν ἐν ἑαυτῷ θεὸν τὸ πνεῦμα, τουτέστι τὸν νοῦν, ἔχειν· λέγει δὲ τοῦτο ὁ κελεύων ἔνθεον ἄνθρωπον μὴ λέγειν τὸν Χριστόν, θεὸν ἔχοντα ἐν ἑαυτῷ ὡς ἄλλον ἐν ἄλλῳ, αὐτὸς πρὸ τῶν ἄλλων τοῦτο κατασκευάζων. ἡ δὲ τῆς συνόδου φωνὴ τὸν ἐξ οὐρανοῦ καταβάντα λέγει. νοείτω μὲν οὖν ὁ πολὺς καὶ ἀκέραιος τὴν ἐκ τῶν οὐρανῶν πρὸς ἡμᾶς κάθοδον· οὐδὲν γὰρ πρὸς τὴν τοιαύτην ὑπόληψιν διοισόμεθα, κἂν ὑψηλοτέραν ὁ νοῦς ἐμφαίνῃ διάνοιαν, μὴ τοπικῶς λέγων καταβαίνειν τὸ θεῖον πανταχοῦ ὂν καὶ περιδεδραγμένον τῶν ὄντων, ἀλλὰ τὴν πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν παραδηλῶν συγκατάβασιν· πλὴν ὅπως ἂν ᾖ φίλον τῷ βουλομένῳ δέχεσθαι τὴν κάθοδον, τὸν σαρκω-

VG V^c^F v l 1 ante κατὰ add τὰ V^c^F 5 ἔα VG 6 μνήμης G: γνώμης ceteri v 8 λέγειν libri v, corr Jaeger (interp post 7 ἔδειξεν) 10 τὸν ... ἐνανθρ. libri v coll post κηρύσσεται (11), transposuit Jaeger 14 ante καὶ add τε V^c^F 32 δέχεσθαι VG: δεχέσθω V^c^F, ω sscr G

θέντα πάλιν ὁ τῆς συνόδου λόγος φησὶ καλῶς καὶ τοῦτο λέγων· πῶς γὰρ ἂν οἰκειότερον τὴν ἐκ γυναικὸς ἡρμήνευσε γέννησιν; οὐ γάρ, ᾗ θεός ἐστιν, αὐτὸς καθ' ἑαυτὸν ἐκ γυναικὸς ἐγεννήθη. ὁ γὰρ πρὸ τῆς κτίσεως ὢν τῷ διὰ σαρκὸς γεγεννῆσθαι αὐτὸ τὸ εἶναι οὐκ ἐπιδέχεται· ἀλλὰ τῷ ἁγίῳ πνεύματι προοδοποιήσας τὴν τῆς ἰδίας δυνάμεως εἴσοδον καὶ μηδὲν τῆς ὑλικῆς ἀφορμῆς πρὸς τὴν κατασκευὴν τοῦ οἰκείου σκήνους προσδεηθεὶς κατὰ τὸ εἰρημένον περὶ τῆς σοφίας Ἑαυτῷ ᾠκοδόμησεν οἶκον τὸν ἐκ τῆς παρθένου χοῦν ἀνθρωποποιήσας, δι' οὗ συνεκράθη πρὸς τὸ ἀνθρώπινον.

Ποῦ τοίνυν ἐν τούτοις φησὶν ὁ λόγος, ὅπερ τῷ Ἀπολιναρίῳ δοκεῖ, <ὅτι> τὸ πνεῦμα, τουτέστι τὸν νοῦν, θεὸν ἔχων ὁ
1144 M. Χριστὸς μετὰ ψυχῆς καὶ σώματος, εἰκότως ἐξ οὐρανοῦ ἄνθρωπος λέγεται; εἰ μὲν γὰρ ἔξεστι κατ' ἐξουσίαν αὐτῷ πρὸς τὸ δοκοῦν ἕλκειν τὰ θεῖα λόγια καὶ κατὰ τοὺς τῶν ὀνείρων ὑποκριτάς, ὅπερ ἂν ἐθέλῃ, τοῦτο τῷ γράμματι προσαρμόζειν τὸ νόημα, ταῦτα καὶ τὰ τοιαῦτα τοῖς θείοις λόγοις ἐπιφημιζέτω νοήματα· εἰ δὲ τοὺς γραώδεις μύθους καὶ τὰς βεβήλους καινοφωνίας κατὰ πάντα τρόπον ἀπωθεῖσθαί φησι δεῖν ὁ ἀπόστολος, οὐδαμῶς συγχωρητέον αὐτῷ συναρμόζειν ἀλλήλοις τὰ ἀκοινώνητα καὶ προσκολλᾶν τὰ ἀσύμβατα. καὶ μᾶλλον δ' ἂν ἡμῖν αὐτὸς δι' ὧν ἐπαγωνίζεται τοῖς εἰρημένοις πρὸς ἀνατροπὴν τοῦ δόγματος αὐτοῦ συμμαχήσειε· φησὶ γὰρ ὅτι καὶ ὁ Παῦλος τὸν πρῶτον Ἀδὰμ ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν, καλῶς τοῦτο καὶ ὑπὲρ τῆς ἀληθείας εἰπών. ἆρα οὖν ὁ πρῶτος ἄνθρωπος, ὁ εἰς ψυχὴν ζῶσαν παρὰ τοῦ Παύλου μνημονευθείς, κτηνείαν τινὰ ψυχὴν εἶχε καὶ ἄλογον; καὶ μὴν οὐκ ὀλίγην αὐτῷ προσμαρτυρεῖ τὴν διανοητικὴν χάριν ἡ ἱστορία· προσήγετο μὲν γὰρ αὐτῷ παρὰ τοῦ θεοῦ τὰ

9 Prov 9, 1 18 I Tim 4, 7; 6, 20 I Cor 15, 45 29 Gen 2, 19

VG V^cF v l 4 τῷ correxi: τὸ VG v, τοῦ V^cF 5 ἐπιδέχεται VG v: εεται supra V^c, ἐδέεται F 9 τὸν om V (cf Ps 9, 1) 12 ὅτι inserui 19 καινοφωνίας (ε sscr) G: κενοφωνίας VF v (cf 148, 23 et I Tim 6, 20: κενοφωνία, var lect καινοφ., 'profanas novitates' Hier.) 22 αὐτὸς correxi: αὐτοῖς libri v 23 αὐτῶ VG

ζῷα, τῆς δὲ τῶν ὀνομάτων εὑρέσεως ἐκεῖνος κύριος ἦν, τὸ προσφυὲς καὶ ἁρμόδιον ἑκάστῳ περινοῶν. ἀλλὰ καὶ ἡ παρακοὴ καὶ ἡ περὶ τὰ μὴ δέοντα συνδιάθεσις καὶ ἡ ἐπὶ τοῖς πεπραγμένοις αἰσχύνη καὶ τὸ πρόσφορον ἐπὶ τοῖς ἐγκλήμασιν ἀπολογίαν εὑρεῖν, πάντα ταῦτα τῆς κατὰ τὸν νοῦν ἐνεργείας ἀπόδειξις γίνεται. τί δήποτε τοίνυν παρεσιωπήθη παρὰ τοῦ Παύλου τὸ νοερὸν τῆς ψυχῆς ἐπὶ τοῦ Ἀδάμ; ἢ δῆλον ὅτι τῷ μέρει συνονομάζεται τὸ λειπόμενον, ὡς τῷ Πρὸς σὲ πᾶσα σὰρξ ἥξει διὰ τῆς σαρκὸς ὅλον σημαίνει ὁ Δαβὶδ τὸ ἀνθρώπινον· καὶ ὁ Ἰακὼβ ἐν ἑβδομήκοντα πέντε ψυχαῖς τοῖς Αἰγυπτίοις ἐπιξενούμενος οὐκ ἄνους οὐδὲ ἄσαρκος κατὰ τὸν χρόνον ἐκεῖνον ὑπὸ τῆς γραφῆς ἱστορεῖται.

Ἀλλά φησιν ὁ λογογράφος ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ πνευματικὸς λέγεται καὶ τοῦτο σημεῖον ποιεῖται τοῦ ἄνουν εἶναι τὸν τῷ θεῷ συγκραθέντα ἄνθρωπον. καίτοι πρόχειρος τῆς ἀτοπίας ὁ ἔλεγχος ἐξ αὐτῶν, ὧν παρέθετο. ὁ γὰρ εἰπὼν Οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι πόρρω τῆς τοιαύτης ὑπονοίας ἀφίστησιν. εἰ γὰρ οἱ πεπιστευκότες τῷ ἐξ οὐρανῶν ἥκοντι καὶ αὐτοὶ παρὰ τοῦ Παύλου ἐπουράνιοι λέγονται, οἱ μετατεθεικότες, καθώς φησιν, εἰς οὐρανοὺς τὸ πολίτευμα, καὶ οἷος ἐκεῖνος ὁ ἐπουράνιος, τοιούτους εἶναι καὶ τούτους τοὺς ἐπουρανίους φησὶν ὁ ἀπόστολος, οὐδεὶς δὲ ἄνους τῶν παραδεξαμένων τὴν πίστιν· ἀνάγκη πᾶσα τὴν ὁμοιωτικὴν ταύτην σύγκρισιν ἀπόδειξιν γενέσθαι τοῦ καθ᾽ ὁμοιότητα τῶν ἀνθρώπων καὶ ἐν ἐκείνῳ τὸν νοῦν εἶναι. Οἷος γάρ, φησίν, ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· ὥστε ἢ ἐν πᾶσι τὸν νοῦν ἢ ἐν οὐδενὶ κατ᾽ ἀνάγκην ὁμολογήσουσιν. ὥσπερ
1145 M. γὰρ τὰ τοῦ χοϊκοῦ ἰδιώματα τοῖς ἐξ ἐκείνου ἐνθεωρεῖται, οὕτως ἐπάναγκες κατὰ τὴν τοῦ ἀποστόλου ἀπόφασιν τὸν κατὰ πάντα πεπειραμένον τοῦ ἡμετέρου βίου καθ᾽ ὁμοιότητα

9 Ps 64, 3 10 Gen 46, 26 et 27 17 I Cor 15, 48 21 Phil 3, 20 30 Hebr 4, 15

VG V^c F v 8 τῷ correxi: τὸ libri v 9 σημαίνει corr Jaeger: σημαίνων libri v 11 οὐδὲ corr Jaeger: οὔτε libri v

χωρὶς ἁμαρτίας — ὁ δὲ νοῦς ἁμαρτία οὐκ ἔστι — πρὸς πᾶσαν ἡμῶν οἰκείως ἔχειν τὴν φύσιν. οὕτω γὰρ τὸ ἀποστολικὸν ἀληθεύεται τὸ ἡμᾶς κατ' ἐκεῖνον εἶναι, εἰ ὁμολογηθείη κἀκεῖνος καθ' ἡμᾶς γεγενῆσθαι, ἵνα ἐκ τοῦ γενέσθαι οἷος ἡμεῖς ἡμᾶς ποιήσῃ οἷος ἐκεῖνος.

Πάλιν τοίνυν τῶν παρ' αὐτοῦ ῥηθέντων ἐπιμνησθησώμεθα· Καθὸ καὶ τὸν πρότερον Ἀδὰμ ὁ Παῦλος ψυχὴν καλεῖ μετὰ σώματος οὖσαν καὶ οὐκ ἄνευ σώματος, τῷ δὲ ὅλῳ τὴν ἐπωνυμίαν διδοῦσαν, κἂν ἐφ' ἑαυτῆς καὶ αὐτὴ κατὰ σύλληψιν τοῦ πνεύματος καλῆται ψυχή. ταῦτα λέγων ὁμολογεῖ τὰ τρία κατὰ σύλληψιν τῷ τῆς ψυχῆς καλεῖσθαι ὀνόματι ὡς περιειλημμένης τῆς τε τοῦ σώματος καὶ τῆς τοῦ πνεύματος ἐν τῷ αὐτῷ σημασίας. ἀλλὰ τὸν ἔσχατον, φησί, πνεῦμα ζωοποιοῦν ὁ Παῦλος καλεῖ. ὅπερ οὖν ἐν ἐκείνῳ διὰ τοῦ πλεονάζοντος κεκρατηκέναι τὴν ἐπωνυμίαν κατὰ τῶν λοιπῶν τῶν σημαινομένων ἔδειξε, τοῦτο πάντως καὶ ἐπὶ τούτου τὴν ἴσην δύναμιν ἔχει. εἰ γὰρ ὁ Ἀδάμ, ἐπειδὴ ἥμαρτε, ψυχὴ λέγεται, ὁ τῷ θεῷ ἐγκραθεὶς ἄνθρωπος, ἐπειδὴ Ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, πνεῦμα τὸ ὅλον κατονομάζεται. ἀλλ' οὐ καταδέχεται τὴν τοιαύτην διάνοιαν· φησὶ γὰρ ἐκεῖνον μὲν ἐκ γῆς χοϊκόν, διότι τὸ σῶμα ἐκ τοῦ χοῦ πλασθὲν ἐψυχώθη. ἆρα ὁ νοῦς, ὅπερ ὀνομάζει πνεῦμα, οὐ συγκατεβλήθη τῷ κατὰ τὸν Ἀδὰμ πλάσματι; οὐκοῦν ἐν τίνι αὐτῷ ἡ πρὸς τὸν θεὸν ὁμοιότης; τίς δὲ ἡ ἐκ τοῦ θείου ἐμφυσήματος ἀπορροή, εἰ μὴ ὁ νοῦς ταῦτα εἶναι πιστεύοιτο; τοῦτον δέ φησιν ἐξ οὐρανοῦ διὰ τοῦτο καλεῖσθαι, διότι τὸ πνεῦμα τὸ οὐράνιον ἐσαρκώθη. τίς γραφὴ ταῦτα

7 I Cor 15, 45   19 Is 53, 9

VG VᶜF v l 4 κἀκεῖνο v   5 ποιήσει v   10 ἐφ' Jaeger ἀφ' libri v   αὐτὴ correxi: αὕτη libri v   11 ὁ ταῦτα VᶜF v   ὁμολογεῖ τὰ libri l: ὁμολογεῖται v   13 τοῦ σώματος καὶ τῆς om VG   17-18 τὴν ἴσην δύναμιν: τὸ ἰσοδύναμον V   25 ante αὐτῷ add ἦν VᶜF   26 ἐμφυσήματος V v: προσφυσήματος ceteri l (cf ἐνεφύσησε Gen 2, 7; Joh 20, 22)

λέγει; εἰς τίνα τῶν ἁγίων ἀναφέρει τὸν λόγον, ὅτι πνεῦμα ἐσαρκώθη; οὐχ οὕτως παρὰ τῶν εὐαγγελίων ἠκούσαμεν, οὐχ οὕτως παρὰ τῆς μεγάλης τοῦ ἀποστόλου φωνῆς ἐδιδάχθημεν, ἀλλ' ὅτι μὲν Ὁ λόγος σὰρξ ἐγένετο, λέγει τὸ κήρυγμα καὶ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα καταβῆναί φησιν ἡ εὐαγγελικὴ ἱστορία· σάρκωσιν δὲ πνεύματος οὐδεὶς εἶπε τῶν τῷ πνεύματι λαλούντων μυστήρια. Ἡ δόξα κατεσκήνωσεν ἐν τῇ γῇ ἡμῶν· καὶ Ἡ ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε· καὶ Θεὸς ἐφανερώθη ἐν σαρκί· καὶ Δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε· καὶ ἄλλα τοιαῦτα πολλά. πνεῦμα δὲ σαρκούμενον ἡ θεόπνευστος οὐκ οἶδε γραφή.

Καὶ προϋπάρχει, φησίν, ὁ ἄνθρωπος Χριστὸς οὐχ ὡς ἑτέρου ὄντος παρ' αὐτὸν τοῦ πνεύματος, τουτέστι τοῦ θεοῦ, ἀλλ' ὡς τοῦ κυρίου ἐν τῇ τοῦ θεοῦ ἀνθρώπου φύσει θείου πνεύματος ὄντος.
1148 M. ταῦτα μὲν ἐπὶ λέξεως τοῦ λογογράφου τὰ ῥήματα. ἐπειδὴ δέ πως τῇ ἀτονίᾳ τῆς ἑρμηνευτικῆς δυνάμεως οὐκ ἄγαν ἔκδηλόν ἐστιν ἐν σαφηνείᾳ τὸ νόημα, πρότερον ἀπογυμνώσω τοῦ ζόφου τῆς λέξεως τὴν ἐγκειμένην διάνοιαν, εἶθ' οὕτω προθήσω τῇ ἐξετάσει τὸν λόγον. προϋπάρχει, φησίν, ὁ ἄνθρωπος Χριστός. συνεπινοεῖ τῷ ἐν ἀρχῇ ὄντι λόγῳ τὸν φανέντα ἄνθρωπον ὡς προϋπάρχοντα πρὸ τῆς φανερώσεως καὶ ἐπεξεργάζεται διὰ τοῦ ἀκολούθου τὸ νόημα. φησὶ γὰρ ὅτι οὐχ ἕτερόν ἐστι παρ' αὐτὸν τὸ πνεῦμα, κατασκευάζων διὰ τούτου αὐτὴν τοῦ υἱοῦ τὴν θεότητα ἐξ ἀρχῆς ἄνθρωπον εἶναι, ὅπερ σαφέστερον διὰ τοῦ ἐφεξῆς δείκνυται λόγου· φησὶ γὰρ ὅτι ὁ κύριος ἐν τῇ τοῦ θεοῦ ἀνθρώπου φύσει θεῖον πνεῦμα ἦν. μίαν ἐποίησε τοῦ θεοῦ τε καὶ ἀνθρώπου τὴν φύσιν καὶ ἀνθρώπων δύο τὴν συναλοιφὴν κατωνόμασεν.

4 Joh 1, 14 5 Matth 3, 16 7 Ps 84, 10 8 Ps 84, 12 9 I Tim 3, 16 13 Ps 84, 12

VG VᶜF v l 1 ἀναφέρει τὸν λόγον om VG 7 λαλούντων G: λαβόντων ceteri v (cf I Cor 14, 2 πνεύματι λαλεῖ μυστήρια) 17 δέ om VG 20 προσθήσω libri v, correxi 28 ante ἀνθρώπου add τοῦ VᶜF v l 29 ἀνθρώπων VG v: πνευμάτων VᶜF l (cf 148, 4)

ἡ μὲν οὖν διάνοια τῶν εἰρημένων αὕτη, ὅτι τὸ διὰ σαρκὸς ἐκ τῆς παρθένου φανερωθὲν οὐ μόνον κατὰ τὴν τῆς θεότητος ἀϊδιότητα προεπινοεῖται τῶν ὄντων, καθὼς πάντες πιστεύομεν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν σάρκα. ἐπάγει γὰρ τοῖς εἰρημένοις εἰς τὴν τῆς τοιαύτης ὑπολήψεως μαρτυρίαν τὸ Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι· καὶ τὴν τοῦ Ἰωάννου φωνὴν τὸ Πρῶτός μου ἦν· καὶ Εἷς κύριος, δι' οὗ τὰ πάντα· καὶ Αὐτός ἐστι πρὸ πάντων· καί τινα τοῦ Ζαχαρίου φωνήν, ἣν ὡς βεβιασμένως πρὸς τὸν σκοπὸν τοῦτον ἐπισυρεῖσαν παρήσομεν. ἐγὼ τοίνυν, εἰ μὲν ἐλάνθανε διά τινος νοημάτων περιβολῆς ἡ τοῦ ἀτόπου κατασκευή, καλῶς ἂν περὶ τὸν ἔλεγχον τῶν κεκρυμμένων ἐσπούδαζον· ἐπεὶ δὲ διαρρήδην βοᾷ τὴν ἀσέβειαν, οὐκ οἶδα τί ἂν πλέον ἐκ τῶν ἡμετέρων γένοιτο λόγων. εἰ προαιώνιος ἡ σάρξ, εἰ πρὸ τοῦ Ἀβραὰμ γενέσθαι τῷ ἐκ Μαρίας ἦν, ἄρα πρεσβυτέρα τοῦ Ναχὼρ ἡ παρθένος· ἄρα καὶ πρὸ τοῦ Ἀδὰμ ἡ Μαρία. καίτοι τί τοῦτο λέγω; αὐτῆς, ὡς ἔοικε, προγενεστέρα τῆς τῶν ὄντων συστάσεως καὶ αὐτῶν τῶν αἰώνων ἀρχαιοτέρα. εἰ γὰρ ἐσαρκώθη μὲν ἐν τῇ παρθένῳ, ἡ δὲ σὰρξ Ἰησοῦς λέγεται, ἐκεῖνον δὲ πρὸ πάντων εἶναι διὰ τοῦ ἀποστόλου μαρτύρεται, ὡς ἔοικε, τῇ τοῦ πατρὸς ἀϊδιότητι συνεπινοεῖσθαι καὶ τὴν Μαρίαν ὁ γενναῖος κατασκευάζει. καὶ σιωπῶ τὰ λίαν ἀπεμφαίνοντα, πρὸς ἃ κατὰ τὸ ἀκόλουθον ἡ ἀτοπία τῆς καινοφωνίας ἐκφέρεται· ἴδοι γὰρ ἂν ὁ ἀγχίνους ἐκ τοῦ ἀκολούθου τὸ ἄτοπον, κἂν μὴ τῇ λέξει τὴν ἀσχημοσύνην παραγυμνώσωμεν.

1149 M. Ἀλλὰ παραδράμωμεν τὴν τῶν νοημάτων τούτων δυσωδίαν, τοσοῦτον παρασημηνάμενοι μόνον ὅτι, εἰ προαιώνιος ἡ σάρξ, οὐ κεκένωται ἡ θεότης, οὐχ ὑπῆρχεν ἐν θεοῦ μορφῇ ὁ υἱός, οὐ μετημφιάσατο τὸ δουλικὸν πρόσωπον· ἀλλ' ὅπερ

5 Joh 8, 58 7 Joh 1, 15; I Cor 8, 6 8 Col 1, 17 cf p 154, 28 (Zach 13, 7) 15 de Nachore cf Gen 11, 22 sq

VG V^cF v 15 τῷ correxi: τὸ libri v 17 προγενεστέρα: πρεσβυτέρα v 23-24 καινοφωνίας VG v: κενοφωνίας V^cF (cf 189, 8-9 καινοφωνίαν - - - τοῦ καινοῦ λογογράφου 25 παραγυμνώσωμεν G: παραδηλώσωμεν V F v, γυμν supra V^cF

ἦν τῇ φύσει, τοῦτο ἐφανερώθη νῦν, οὐκ ἐταπεινώθη. ἵλεως δὲ εἴη τῷ λόγῳ ὁ Λόγος — ἀλλὰ σιωπῶ τὸ λειπόμενον. εἰ πρὸ πάντων ἡ σάρξ, ἐξ ἀσθενείας ἄρα τὰ πάντα, οὐκ ἐκ δυνάμεως· Τὸ γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. ἄρα εἰ καὶ μέχρι τούτου μόνον τὴν ἀτοπίαν ἵστησι, καὶ τίς οὐκ ἂν ἐκ τοῦ ἀκολούθου καὶ τὰ συνημμένα τούτοις κατανοήσειεν; πάντως γὰρ πάντα τὰ τῆς σαρκὸς ἰδιώματα συνεπινοήσει τῷ μετὰ τῆς σαρκὸς ὄντι πρὸ τῶν αἰώνων, τὸν κόπον, τὴν λύπην, τὸ δάκρυον, τὴν δίψαν, τὸν ὕπνον, τὴν κατὰ πεῖναν ἔνδειαν καὶ τὸ ἔτι τούτου παραλογώτερον. ἐπειδὴ δὲ Παιδίον ἐγεννήθη ἡμῖν, καθὼς ἡ θεία φωνὴ λέγει, καὶ Ὤφθη παρὰ τῶν ποιμένων ἐν σπαργάνοις ὁ κύριος, καθώς φησιν ὁ Λουκᾶς, <καὶ> ὅτι Προέκοπτεν Ἰησοῦς ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι, τελειούμενος, ἕως ἐπὶ τὸ μέτρον προῆλθε τῆς ἀνθρωπότητος ὁδῷ βαδίζων διὰ τῆς φύσεως, τί ἐροῦσιν <οἱ> πρὸ τῶν αἰώνων τὴν σάρκα βλέποντες, ποίῳ μέτρῳ τοῦ σώματος πρὸ τῶν αἰώνων ἦν; διὰ πάσης γὰρ ἐν τῷ κατὰ ἄνθρωπον βίῳ διεξῆλθε τῆς ἡλικίας. ἆρα παῖς ἦν ἐκεῖνος ὁ ἄνθρωπος, ὁ πρὸ πάσης τῆς κτίσεως ὤν, ἢ βρέφος νήπιον ἢ μειράκιον ἢ εὐθὺς ἐν τελείῳ τῷ σώματι; ἀλλ' εἰ παῖδα λέγουσι, πάντως καὶ τὴν αἰτίαν προσθήσουσι, πῶς τοσούτου παρελθόντος αἰῶνος ἐπὶ τὸ τέλειον τῆς ἡλικίας οὐκ ἔφθασεν; εἰ δὲ τέλειον λέγουσι, τοῦτο μαθεῖν ἀξιώσομεν, πῶς ἐν τῇ ἀνθρωπίνῃ γενέσει συστέλλεται εἰς τὴν νηπιώδη βραχύτητα; ποῦ καταλείπει τὸ περιττεῦον τοῦ σώματος; πῶς εἰς ὀλίγην περιγραφὴν ὁ ὄγκος ἀποσμικρύνεται; εἶτα πάλιν πῶς πρὸς τὸ ἴδιον μέτρον ἐπανάγει τὸν ὄγκον τοῦ σώματος; πότερον ὅπερ εἶχεν ἐξ ἀρχῆς ἀναλαμβάνων διὰ τῆς κατ' ὀλίγον αὐξήσεως ἢ ἕτερον

4 Matth 26, 41 10 Is 9, 5 11 Luc 2, 12 13 Luc 2, 52

VG VcF v 1 ἐταπεινώθη add in marg VcF 4 εἰ inserui 5 μόνον G: om cet v 6 καὶ VcF: om VG v 10 ἔτι libri: ἐστι per errorem v δὲ v: καὶ libri 11 φωνὴ λέγει VG v: β et α (non βοᾷ, ut male intellexit v) supra Vc, λέγει φωνή F 12 ante καθὼς add καὶ VcF 13 καὶ ante ὅτι addidi 14 ἕως VcF: ὡς VG v 15 οἱ addidi 21 τὴν G: om ceteri v 23 ἀξιώσομεν v: ἀξιώσωμεν libri

ἐν ἑαυτῷ διὰ τῆς τροφῆς προστιθείς; ἀλλ᾿ εἰ μὲν τὸ ἀρχαῖον φήσουσι, περιττὴν πάντως τὴν τροφὴν ἀποδείξουσιν· εἰ δὲ οὐκ ἀρνοῦνται τροφῆς μετεσχηκέναι τὸν κύριον, τί ἐροῦσι περὶ τῆς ἄνω καταλειφθείσης σαρκός, ἧς τὸ πολὺ κατὰ τὸ εἰκὸς κατελείφθη, μόνον δὲ τοσοῦτον ἀπ᾿ αὐτῆς ἐλήφθη, ὅσον ἡ νηδὺς τῆς παρθένου ἐχώρησεν; πάντως γάρ τι καὶ περὶ αὐτῆς τερατεύσονται καὶ συνθήσουσι διὰ τούτων ἕτερα δόγματα, ἐφ᾿ ἅπερ <ἂν> αὐτοὺς ἡ ἀκολουθία τῆς ἀτοπίας τῶν μύθων κατ᾿ ἀνάγκην προάγηται.

1152 M. Ἀλλὰ παρείσθω καὶ ταῦτα. ἐκεῖνο δέ τις οὐκ ἂν ἀλόγως ἐπιζητήσειε παρὰ τῶν τὴν θείαν ἐκείνην σάρκωσιν προαιώνιον δογματιζόντων. εἰ γὰρ πάντοτε τὴν σάρκα περὶ αὐτὸν οἴονται, θεὸν δὲ εἶναι τὴν σάρκα φασί, πᾶσα δὲ σὰρξ ἀντίτυπός ἐστι τῷ ἁπτομένῳ, τὸ δὲ ἀντίτυπον ὑλῶδες καὶ σύνθετον, τὸ δὲ σύνθετον καὶ διαλυτὸν πάντως, ἀνάγκη πᾶσα διὰ τούτων καὶ ὑλικὸν αὐτὸν ἐγκατασκευάζεσθαι καὶ ἐκ διαφόρων συγκείμενον καὶ ἀναμένοντα φυσικῶς τὴν διάλυσιν. οἴδαμεν γάρ, ὅτε ἀνθρωπικῶς τοῖς ἀνθρώποις ἐπεχωρίαζεν, ἐκ τίνων εἶχε τὸ σῶμα τὴν σύνθεσιν· ὅτι διὰ σαρκῶν καὶ ὀστέων καὶ αἵματος καθ᾿ ὁμοιότητα τῶν ἄλλων κἀκεῖνο ἦν ἔκ τε τοῦ τύπου τῶν ἥλων καὶ ἐκ τοῦ προχεθέντος διὰ τῆς λόγχης αἵματος καὶ ἐκ τοῦ πρὸς τοὺς ἀπιστοῦντας τῷ φαινομένῳ εἰπεῖν ταῦτα τὸν κύριον ὅτι Ψηλαφήσατέ με [καὶ ἴδετε] καὶ γνῶτε, ὅτι τὸ πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, ὥσπερ ἐμὲ θεωρεῖτε ἔχοντα. εἰ οὖν ἡ θεία σάρκωσις, καθὼς ὁ Ἀπολινά-

23 Luc 24, 39

VG V^{c}F v 3 ἀρνῶνται V 5 κατελείφθη F: καταλελεῖφθαι VG κατελήφθη V^{c} v ἐλήφθη v: εἰλῆφθαι VG ἐλῆφθαι V^{c}F 6 παρθενίας G 8 ἂν add Jaeger 9 κατ᾿ ἀνάγκην προάγηται om V προάγεται G 10 ἀλόγως Zacagni, v: εὐλόγως libri 13 δὲ pr V: om ceteri v post δὲ alterum add ἡ V v 22 τοὺς om VG v 23 καὶ ἴδετε in marg G, in textu ceteri v neque tamen recepi collatis verbis Luc 24, 39 ψηλαφήσατε με καὶ ἴδετε ὅτι . . . Gregorius ut vid καὶ γνῶτε scripsit pro καὶ ἴδετε 24 ante πνεῦμα add τὸ V V^{c}F v, om secundum Luc 24, 39 G 25 ὁ om G

ριος λέγει, οὐ τὴν ἀρχὴν ἐκ τῆς παρθένου ἔσχεν, ἀλλὰ καὶ πρὸ τοῦ Ἀβραὰμ καὶ πρὸ πάσης κτίσεως ἦν, τοιαύτη πάντως ἦν, οἵα τοῖς μαθηταῖς ἑωρᾶτο, στερρὰ καὶ ἀντιτυπὴς σαρκί τε καὶ ὀστέοις διειλημμένη. οὐκοῦν ταῦτα πάντοτε ἦν καὶ οὐδεμία πρὸς τὸ ταπεινὸν αὐτῷ γέγονε κάθοδος, ἀλλὰ τὸ λανθάνον, θεῖον κατὰ φύσιν ὄν, τοῦτο τῷ τῆς ἐνανθρωπήσεως ἐφανερώθη καιρῷ. τί τοιοῦτον Ἄρειος, τί δὲ ὁ τούτου χείρων Εὐνόμιος ἐπὶ καθαιρέσει τῆς δόξης τοῦ μονογενοῦς ἐνενόησεν, οἷον διὰ τῆς τοιαύτης ἡμῖν λογογραφίας ὑπὸ τοῦ Ἀπολιναρίου κατασκευάζεται; θεὸς ἔνσαρκος πρὸ αἰώνων, ὀστώδης τις καὶ τετριχωμένος καὶ δέρματι καὶ νεύροις καὶ σαρκὶ καὶ πιμελαῖς διειλημμένος καὶ ἐκ διαφόρων συγκείμενος καὶ τὸ ἁπλοῦν τε καὶ ἀσύνθετον ἐν ἑαυτῷ μὴ ἔχων, ὁ λόγος ὁ ἐν ἀρχῇ ὢν καὶ πρὸς τὸν θεὸν ὤν, ὁ ἐπ' ἐσχάτων ἡμερῶν τῇ πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν κοινωνίᾳ σὰρξ ὑπὸ φιλανθρωπίας γενόμενος, διὰ τοῦτο τῷ ἀνθρώπῳ ἀνακραθεὶς καὶ πᾶσαν ἐν ἑαυτῷ τὴν ἡμετέραν φύσιν δεξάμενος, ἵνα τῇ πρὸς τὸ θεῖον ἀνακράσει συναποθεωθῇ τὸ ἀνθρώπινον διὰ τῆς ἀπαρχῆς ἐκείνης παντὸς συναγιαζομένου τοῦ τῆς φύσεως ἡμῶν φυράματος.

Ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι τὴν ἐφ' ἑκάστῳ τῶν εἰς τοῦτο παρατεθέντων αὐτῷ θείων πεπλανημένην ὑπόληψιν· τὰ γὰρ ἐκ τοῦ προχείρου ὄντα καταφανῆ περιττὸν
1153 M. ἂν εἴη διεξετάζοντα μηκύνειν τὸν λόγον. εἰς γὰρ μαρτυρίαν τοῦ ἀεὶ αὐτὸν ἐν σαρκί τε καὶ αἵματι εἶναι τὴν ἀποστολικὴν παρέθετο ῥῆσιν τὴν λέγουσαν δι' αὐτοῦ ἡμᾶς εἰληφέναι τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τῆς σαρκὸς αὐτοῦ — ὅπερ, ὅτι πρὸς ἑτέραν βλέπει διάνοιαν, οὐκ ἂν οἶμαί τινας τῶν νοῦν ἐχόντων ἀμφιβάλλειν. τίς γὰρ οὐκ οἶδε τὸ θεῖον μυστήριον, ὅτι ὁ

14 Joh 1, 1 25 Eph 1, 7 30 Luc 15, 4 Matth 18, 12

VG V^c^F v l 1 παρθενίας G (cf 150, 6) 3 post ἑωρᾶτο add ἑωρᾶτο δὲ V^c^F l 11 καὶ τετριχωμένος om v 15 πρὸ V 17 καὶ om VG v 19 συναποθεωθῇ G: συναποθεωρηθῇ ceteri v 20 παντὸς corr ex πάντως G

ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν ὡς ποιμὴν τὸ πεπλανημένον πρόβατον μέτεισιν; ἡμεῖς δὲ οἱ ἄνθρωποί ἐσμεν ἐκεῖνο τὸ πρόβατον, οἱ τῆς λογικῆς ἑκατοντάδος ἀποβουκοληθέντες διὰ τῆς ἁμαρτίας. καὶ λαμβάνει ἐπὶ τῶν ἰδίων ὤμων ὅλον τὸ πρόβατον· οὐδὲ γὰρ ἐν μέρει ἦν τοῦ προβάτου ἡ πλάνη, ἀλλ' ἐπειδὴ ὅλον ἀπεφοίτησε, καὶ ὅλον ἐπανάγεται· οὐχ ἡ μὲν δορὰ βαστάζεται, τὸ δὲ ἐντοσθίδιον καταλείπεται, καθὼς Ἀπολινάριος βούλεται. τοῦτο δὲ ἐν τοῖς ὤμοις τοῦ ποιμένος, τουτέστιν ἐν τῇ θεότητι τοῦ κυρίου γενόμενον ἓν πρὸς ἐκεῖνον διὰ τῆς ἀναλήψεως γίνεται. διὰ τοῦτο θέλων ἐπιζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός, ἐπειδὴ εὗρε τὸ ζητούμενον, ἀνέλαβεν ἐφ' ἑαυτοῦ τὸ εὑρημένον· οὐ γὰρ ἔτι τοῖς ἰδίοις ποσὶ τοῖς πλανηθεῖσιν ἅπαξ ἐκινεῖτο τὸ πρόβατον, ἀλλ' ὑπὸ τῆς θεότητος ἐκομίζετο. διὰ τοῦτο τὸ μὲν φαινόμενον πρόβατον, τουτέστιν ἄνθρωπος, τὰ δὲ ἴχνη αὐτοῦ, κατὰ τὸ γεγραμμένον, οὐκ ἐγινώσκετο. οὐδὲν γὰρ ἁμαρτίας ἢ πλάνης ἴχνος τῷ ἀνθρωπίνῳ βίῳ ἐνεσημήνατο ὁ ἐφ' ἑαυτοῦ φέρων τὸ πρόβατον· ἀλλ' οἷα εἰκὸς ἦν θεοῦ ἴχνη διὰ τῆς τοῦ βίου πορείας ἐντυπωθῆναι, ταῦτα ἐφαίνετο, ἅτινα ἦν διδασκαλίαι καὶ θεραπεῖαι καὶ νεκρῶν ζωοποιήσεις καὶ τὰ ἄλλα θαύματα. τοῦτο τοίνυν τὸ πρόβατον ἐφ' ἑαυτοῦ λαβὼν ὁ ποιμὴν ἓν πρὸς ἐκεῖνο ἐγένετο· διὰ τοῦτο καὶ τῇ τοῦ προβάτου φωνῇ τοῖς ποιμνίοις λαλεῖ. πῶς γὰρ ἂν ἐχώρησεν ἀνθρωπίνη ἀσθένεια θείας φωνῆς προσβολήν; ἀλλ' ἀνθρωπικῶς, ὡς δ' ἄν τις εἴποι προβατικῶς, ἡμῖν διαλέγεται λέγων Τὰ ἐμὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει. ὁ οὖν ἀναλαβὼν ἐφ' ἑαυτοῦ τὸ πρόβατον ποιμὴν καὶ δι' ἐκείνου ἡμῖν φθεγγόμενος καὶ πρόβατόν ἐστι καὶ ποιμήν· ἐν μὲν τῷ ἀναληφθέντι πρόβατον· ἐν δὲ τῷ ἀνειληφότι ποιμήν.

Ἐπεὶ οὖν ἔδει τὸν καλὸν ποιμένα τὴν ψυχὴν ἑαυτοῦ θεῖναι ὑπὲρ τῶν προβάτων, ἵνα διὰ τοῦ ἰδίου θανάτου

16 Ps 76, 20 23 cf Joh 10, 16 25 Joh 10, 27 30 Joh 10, 11

VG V^c F v 1 ὡς ποιμὴν om V 12 ἔτι V^cF: ἐπὶ VG v 15 an lacuna post ἄνθρωπος? 30 αὐτοῦ V v (= Joh 10, 11) 31 τῶν om G

καταλύσῃ τὸν θάνατον, τότε γίνεται τὸ συναμφότερον ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν τῇ ἀνθρωπίνῃ φύσει καὶ ἱερεὺς καὶ ἀμνὸς ἐν τῷ δυναμένῳ δέξασθαι τὴν κοινωνίαν τοῦ πάθους ἐνεργήσας τὸν θάνατον. ἐπειδὴ γὰρ οὐδὲν ἕτερόν ἐστιν ὁ θάνατος εἰ μὴ διάλυσις ψυχῆς τε καὶ σώματος, ὁ πρὸς ἀμφότερα ἑαυτὸν ἑνώσας, πρός τε τὴν ψυχήν φημι καὶ τὸ
1156 M. σῶμα, οὐθετέρου χωρίζεται (Ἀμεταμέλητα γὰρ τοῦ θεοῦ τὰ χαρίσματα, καθώς φησιν ὁ ἀπόστολος)· ἀλλὰ καὶ τῷ σώματι καὶ τῇ ψυχῇ ἑαυτὸν ἐπιμερίσας διὰ μὲν τῆς ψυχῆς ἀνοίγει τῷ λῃστῇ τὸν παράδεισον, διὰ δὲ τοῦ σώματος ἵστησι τῆς φθορᾶς τὴν ἐνέργειαν· καὶ τοῦτό ἐστιν ἡ τοῦ θανάτου κατάλυσις, τὸ ἀνενέργητον γενέσθαι τὴν φθορὰν ἐν τῇ ζωοποιῷ φύσει ἀφανισθεῖσαν· τὸ γὰρ ἐπὶ τούτων γενόμενον κοινὴ τῆς φύσεως ἡμῶν εὐεργεσία καὶ χάρις γίνεται. καὶ οὕτω πάντα τὰ διεστῶτα συνάπτει διὰ τῆς ἀναστάσεως ὁ ἐν ἀμφοτέροις ὤν, ὁ κατ' ἐξουσίαν τὸ μὲν σῶμα διδοὺς τῇ καρδίᾳ τῆς γῆς, καθὼς γέγραπται, τὴν δὲ ψυχὴν ἀφ' ἑαυτοῦ τιθείς, ὡς μὲν πρὸς τὸν πατέρα φησὶν ὅτι Ἐν ταῖς χερσί σου παρατίθημι τὸ πνεῦμά μου, ὡς δὲ πρὸς τὸν λῃστὴν <ὅτι Σήμερον μετ' ἐμοῦ ἔσῃ> ἐν τῷ παραδείσῳ, ἀληθεύων δι' ἑκατέρων· οὐ γὰρ ἄλλοθί που πιστεύειν χρὴ τὴν θείαν ἐκείνην εἶναι διαγωγὴν ἥπερ παράδεισος λέγεται, εἰ μὴ ἐν τῇ πολυχώρῳ τοῦ πατρὸς παλάμῃ, καθώς φησι καὶ ὁ προφήτης πρὸς τὴν ἄνω Ἰερουσαλὴμ ἐκ προσώπου κυρίου τὸν λόγον ποιούμενος Ἐπὶ τῶν χειρῶν μου ἐζωγράφηκά σου τὰ τείχη καὶ ἐνώπιόν μου εἶ διὰ παντός. οὕτω τοίνυν καὶ ἐν τῷ θανάτῳ γίνεται καὶ ὑπὸ τοῦ θανάτου οὐ κυριεύεται. τὸ μὲν γὰρ σύνθετον μερίζεται· τὸ δὲ ἀσύνθετον λύσιν οὐκ ἐπιδέχεται· ἀλλὰ παραμένει μὲν <ἐν> τῷ μερισμῷ τοῦ συνθέτου ἡ ἀσύνθετος φύσις

7 Rom 11, 29 9 Luc 23, 43 10 Rom 8, 21 16 Matth 12, 40 18 Luc 23, 46 23 Is 49, 16

VG VᶜF v 5 ὁ om VG v 11 in marg τίς ἐστιν ἡ τοῦ θανάτου κατάλυσις libri 18 ὅτι om F 19-20 ὅτι Σήμερον μετ' ἐμοῦ ἔσῃ secundum Luc 23, 46 addidi 22 ἥπερ scripsi: εἴπερ libri v, 'forte legendum ἥπερ' in annotatione v 25 καὶ om V v 29 ἐν addidi (cf 178, 21)

καὶ τῆς ψυχῆς τοῦ σώματος ἀποχωρούσης οὐθετέρου χωρίζεται. τεκμήριον δὲ ἡ ἐνέργεια, καθὼς εἴρηται, ἐπὶ μὲν τοῦ σώματος τὴν ἀφθαρσίαν, ἐπὶ δὲ τῆς ψυχῆς τὴν ἐν παραδείσῳ διαγωγὴν ἐνεργήσασα. οὐ μὴν συνδιασχίζεται τῷ χωρισμῷ τούτων ὁ ἁπλοῦς καὶ ἀσύνθετος, ἀλλὰ τὸ ἐναντίον ἓν ἐργάζεται· τῷ γὰρ καθ' ἑαυτὸν ἀδιαιρέτῳ καὶ τὸ διῃρημένον εἰς ἕνωσιν ἄγει καὶ τοῦτο ἐνδείκνυται ὁ εἰπὼν ὅτι Ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. οὐ γὰρ ὥσπερ ὁ Λάζαρος ἤ τις ἄλλος τῶν ἀναβεβιωκότων ἀλλοτρίᾳ δυνάμει πρὸς τὸ ζῆν ἐπανάγεται, οὕτως εὐαγὲς καὶ ἐπὶ τῆς τοῦ κυρίου ἀναστάσεως οἴεσθαι. ἀλλ' ὁ μονογενὴς θεὸς αὐτὸς ἀνίστησι τὸν ἀνακραθέντα ἄνθρωπον αὐτῷ καὶ χωρίσας τοῦ σώματος τὴν ψυχὴν καὶ ἑνώσας πάλιν ἀμφότερα καὶ οὕτως ἡ κοινὴ γίνεται σωτηρία τῆς φύσεως· ὅθεν καὶ ἀρχηγὸς ζωῆς ὀνομάζεται· ἐν γὰρ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι τὸν κόσμον ἑαυτῷ κατήλλαξεν ὁ μονογενὴς θεός, οἱόν τινας δορυαλώτους, ἡμᾶς διὰ τοῦ συγγενοῦς ἡμῶν αἵματος πάντας τοὺς κεκοινωνηκότας αὐτῷ τῆς σαρκὸς καὶ τοῦ αἵματος ἐξωνησάμενος, ὡς πρὸς τοῦτο βλέπειν τὴν ἀποστολικὴν ῥῆσιν, ἥ φησιν ἔχειν ἡμᾶς τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν διὰ τῆς σαρκὸς αὐτοῦ. οὗτος ὁ ἡμέτερος λόγος, ὃν ἐκ τῶν παρατεθέντων τοῦ ἀποστόλου ῥημάτων ἐνοήσαμεν καὶ οὐχ ὡς ['Απολινάριος] ἐκεῖνος. δοκιμαζέτω δὲ
1157 M. ὁ κρίνων ἐπεσκεμμένως τὸν εὐσεβέστερον, εἴτε, καθὼς ἡμεῖς φαμεν, ἡ δόξα οἰκονομικῶς κατασκηνοῖ ἐν τῇ γῇ ἡμῶν εἴτε, καθὼς ἐκεῖνός φησιν, οὐχὶ ἐπίκτητος ἐπὶ τῇ εὐεργεσίᾳ γίνεται ἡ σὰρξ τῇ θεότητι, ἀλλὰ συνουσιωμένη καὶ σύμφυτος.

Εἰ δὲ Ζαχαρίας ὁ προφήτης εἰς τούτων ἕτερον τοῖς

7 Col 2, 12; I Thess 1, 10 8 Joh 11, 43 15 II Cor 5, 19
19 Eph 1, 7 28 Zach 13, 7

VG VᶜF v 1 οὐθ' ἀτέρου F 7 ὁ pr om VG v 10 ante οὕτως add οὐχ VᶜF (cf 8) 12 an corrigendum ἑαυτῷ? (cf 137, 28) 15 καὶ ἐγερθέντι om F 22 supra ῥημάτων add τῶν V 23 'Απολινάριος secl Jaeger, in marg καὶ τοῦ 'Απολιναρίου ἐκεῖνο VᶜF 24 κρίνειν ἐπεσκεμμένος libri v, correxi 28 τούτων VG v: τοῦτο ἢ VᶜF

αἰνίγμασι φέρεται, οὐδὲν οἶμαι δεῖν ἐξετάζειν τῷ λόγῳ, εἴτε πρὸς τὸν κύριον εἴτε πρὸς ἕτερόν τινα βλέπει τὸ νόημα. λέγει γὰρ ὅτι Ῥομφαία, ἐξεγέρθητι ἐπὶ νομέα μου καὶ ἐπὶ ἄνδρα σύμφυλόν μου. ἡμεῖς μὲν γὰρ ἀπειλητικῶς οἰόμεθα κατὰ τῶν τῇ ἀδικίᾳ πρὸς τὸ ὁμόφυλον κεχρημένων κινεῖν τὴν ῥομφαίαν τὸν λόγον· Ἀπολινάριος δέ φησι κατὰ τοῦ κυρίου τὴν ῥομφαίαν ἐγείρειν διὰ τὴν τοῦ νομέως προσηγορίαν, οὐκ εἰδὼς ὅτι πολλαχῇ τῆς γραφῆς τοὺς εἰς ἀρχὴν τεταγμένους καὶ ποιμένας καὶ νομέας κατονομάζει ὁ λόγος. ὅσα δὲ πάλιν τῆς πρὸς Ἑβραίους ἐπιστολῆς πρὸς τὸν αὐτὸν σκοπὸν ἐπισύρεται, οὕτως ἔκδηλον τὴν ἐν ταῖς κατασκευαῖς ἀτοπίαν ἔχει, ὡς παντὶ συνιδεῖν ῥᾴδιον, εἰ μικρόν τις μετέχοι φρονήσεως. ἐπειδὴ γὰρ γέγραπται ὅτι Ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν υἱῷ ἐλάλησεν ἡμῖν ὁ θεὸς ὁ πολυμερῶς καὶ πολυτρόπως ἐν τοῖς προφήταις λαλήσας τοῖς πατράσι τὸ πρότερον, ἀπόδειξίς ἐστί, φησί, τοῦ τὸ ἀνθρώπινον τοῦ φανέντος ἡμῖν θεοῦ προαιώνιον εἶναι· φησὶ γὰρ οὕτω κατὰ τὴν λέξιν ἐφερμηνεύων δῆθεν τὸν ἀπόστολον· Ἔστι δὲ ἐν τούτοις καταφανές, ὅτι αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας ἡμῖν τὰ τοῦ πατρὸς θεός ἐστι, ποιητὴς τῶν αἰώνων, ἀπαύγασμα δόξης, χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, ἅτε δὴ τῷ ἰδίῳ πνεύματι θεὸς ὢν καὶ οὐ θεὸν ἔχων ἐν ἑαυτῷ ἕτερον παρ' αὐτό, αὐτὸς ὁ δι' ἑαυτοῦ, τουτέστι διὰ τῆς σαρκός, καθαρίσας κόσμον ἁμαρτιῶν. ταῦτά φησιν ὁ Ἀπολινάριος ἐπὶ λέξεως καὶ οὐδὲν παρ' ἡμῶν ἐν τοῖς εἰρημένοις παραπεποίηται. εἰ οὖν ἄνθρωπος ὁ λαλήσας, ποιητής ἐστι τῶν αἰώνων, καθὼς τῷ λογογράφῳ δοκεῖ, καὶ ἡ σάρξ ἐστι τὸ ἀπαύγασμα καί ἡ τοῦ δούλου μορφὴ χαρακτηρίζει τοῦ θεοῦ τὴν ὑπόστασιν, οὐκέτι μοι δοκεῖ καλῶς ἔχειν μάχεσθαι πρὸς τὸ εἰρημένον, θρηνεῖν δὲ μᾶλλον τῆς ἀναισθησίας τοὺς

13 Hebr 1, 1

VG VᶜF v l 12 ante εἰ add καὶ V v, εἶναι καὶ VᶜF 20 τοῦ om G 23 αὐτό correxi: αὐτῶν F, αὐτόν cet v 27 ante ἄνθρωπος add ὁ VᶜF l (cf 156, 1; 157, 3)

τὴν τοιαύτην παραδεχομένους καινοφωνίαν. ἄνθρωπος ὁ λαλήσας ἡμῖν ἀνθρωπικῶς διὰ τῆς ἡμετέρας φωνῆς, ὁ πτύσας τῷ στόματι καὶ τῇ χειρὶ πηλουργήσας, ὁ ἐμβαλὼν τοὺς δακτύλους ἐν ταῖς τῶν κωφῶν ἀκοαῖς καὶ τῶν ἀρρωστούντων τε καὶ τεθνεώτων ἁπτόμενος καὶ ὕπνῳ καὶ καθέδρᾳ ἀναπαύων τὸν κόπον καὶ δακρύων καὶ ἀδημονῶν καὶ λυπούμενος καὶ πείνας αἴσθησιν ἔχων καὶ τροφὴν προσιέμενος καὶ ὕδωρ αἰτῶν· οὗτος κατ' αὐτὸ τὸ σαρκῶδές τε καὶ ἀνθρώπειον τῆς τῶν ὄντων προεπινοεῖται συστάσεως καὶ θεὸς ἡ τῆς σαρκὸς φύσις λέγεται, ἡ σύνθετος καὶ στερρὰ καὶ
1160 M. ἀντίτυπος; ἐπιφραξάσθω πᾶσα τῶν εὐσεβῶν ἀκοὴ μηδὲ μολυνθείη τὰ θεῖα καὶ ἀκήρατα δόγματα τοῖς σαρκωδεστέροις πάθεσι παρὰ τῶν ἐξανθρωπιζόντων τὸ θεῖον καθυβριζόμενα. τίς γὰρ οὐκ οἶδεν, ὅτι ὁ φανερωθεὶς ἡμῖν ἐν σαρκὶ θεὸς κατὰ μὲν τὸν λόγον τῆς εὐσεβοῦς παραδόσεως ἄϋλος καὶ ἀφανὴς καὶ ἀσύνθετος καὶ ἦν καὶ ἔστιν ἀόριστος καὶ ἀπερίγραπτος, πανταχοῦ ὢν καὶ διὰ πάσης τῆς κτίσεως διήκων, κατὰ δὲ τὸ φαινόμενον ἐν ἀνθρωπίνῃ περιγραφῇ ἑωρᾶτο; ἀνάγκη γὰρ πᾶσα πᾶν σῶμα ὑπὸ ἐπιφανείας τινὸς περιέχεσθαι. αὐτὴ τοίνυν ἡ ἐπιφάνεια τοῦ ἐν αὐτῇ περιειλημμένου σώματος ὅρος ἐστί· πᾶν δὲ τὸ ὅρῳ περιεχόμενον ὡρισμένῃ τινὶ ποσότητι περιείργεται· τὸ δὲ ὡρισμένον ἀόριστον εἶναι οὐ δύναται. ἀλλὰ μὴν ὁ προφήτης φησὶν ὅτι Τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. εἰ οὖν ἡ θεία φύσις, καθώς φησιν ὁ λογογράφος, σάρξ ἐστιν, αὕτη δὲ ἀναγκαίως τῷ τῆς ἐπιφανείας περιλαμβάνεται πέρατι, πῶς ἡ τοῦ θεοῦ μεγαλωσύνη κατὰ τὸν προφήτην εἰς ἄπειρον πρόεισιν; ἢ πῶς διὰ τοῦ ὡρισμένου νοεῖται τὸ ἀόριστον, διὰ τοῦ πεπερασμένου τὸ ἄπειρον; μᾶλλον δέ,

23 Ps 144, 3

VG V^cF v 1 κενοφωνίαν V^cF (cf 148, 23) 3 σώματι VG 6 διαναπαύω V^cF 8-9 ἀνθρώπινον v 10 τῆς om v 13 ἐξυβριζόντων V v 14 ante σαρκὶ add τῇ V^cF 16 post ἀόριστος add τε V^cF (cf 143, 14) 20 πεπλημμελημένου G ὅλος σώματος in marg VF, ὁλος (sic!) σώματος in marg G 21 τῷ VG v 23 μεγαλοσύνης v 26 μεγαλοσύνη v

ὃ καὶ φθάσαντες ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν, πῶς ἐκ τοῦ θανάτου τὸ ἰσχυρόν; εἰ γάρ, καθώς φησιν, αὐτὸς ὁ ἄνθρωπος ὁ λαλήσας, ποιητὴς τῶν αἰώνων ἐστίν, αὐτὸς ὁ δι' ἑαυτοῦ, τουτέστι διὰ τῆς σαρκός, καθὼς ὁ Ἀπολινάριος ἑρμηνεύει, τὰ πάντα ποιῶν, ἀσθενὴς δὲ παρ' αὐτῆς τῆς θείας φωνῆς ἡ σὰρξ ὠνομάσθη, οὐδὲν ἕτερον εἰ μὴ τὸ κράτος καὶ τὴν ἰσχὺν καὶ τὴν δύναμιν καὶ ὅσα ὑψηλὰ καὶ θεοπρεπῆ νοήματα ἔκγονα τῆς ἀσθενείας ὁ λογογράφος οἴεται.

Καὶ οὔπω τοσοῦτον τοῦτο δεινόν, ἀλλὰ προϊὼν ὁ λόγος διὰ τῆς κατὰ τὸ ἀκόλουθον ἐξετάσεως αὐτῆς ἅπτεται τῆς κατὰ τοῦ πατρὸς βλασφημίας. λέγει γὰρ τὸν ἄνθρωπον εἶναι τῆς τοῦ θεοῦ δόξης ἀπαύγασμα καὶ ἐν τῷ σαρκίνῳ θεῷ, ὃν διὰ τῆς ματαιότητος τῶν λογισμῶν εἰδωλοποιήσας ἀνέπλασε, τὴν τοῦ θεοῦ ὑπόστασιν χαρακτηρίζεσθαι. ὥσπερ τοίνυν συγγενῶς ἔχει πρὸς τὸν ἥλιον ἡ ἀκτὶς καὶ πρὸς τὸν λύχνον τὸ ἐκ τῆς λαμπάδος ἀπαυγαζόμενον φῶς καὶ ὁ τοῦ ἀνθρώπου χαρακτὴρ ἀνθρωπίνην ὑπόστασιν δείκνυσιν, οὕτως πάντως, εἴπερ τὸ ἡμῖν φανὲν παρὰ τῆς δόξης τοῦ πατρὸς ἀπηυγάσθη καὶ ὁ χαρακτὴρ αὐτοῦ τῆς ὑποστάσεως σάρξ ἐστι, σαρκώδης ἐκ τοῦ ἀκολούθου καὶ ἡ τοῦ πατρὸς φύσις
1161 M. κατασκευάζεται. οὐ γὰρ ἂν εἴποι χαρακτηρίζεσθαι μὲν σώματι τὸ ἀσώματον, ἐκ δὲ τοῦ ἀοράτου τὸ ὁρατὸν ἀπαυγάζεσθαι. ἀλλ' οἵα ἡ δόξα, τοιοῦτον δηλονότι καὶ τὸ ἀπαύγασμα, καὶ οἷος ὁ χαρακτήρ, τοιαύτη πάντως καὶ ἡ ὑπόστασις, ὥστε εἰ τοῦτο σῶμα, μηδὲ ἐκεῖνο πάντως ἀσώματον οἴεσθαι. ἀλλὰ καὶ τοῦ κατὰ Νίκαιαν μέμνηται δόγματος, ἐν ᾧ τὸ ὁμοούσιον ἡ κοινὴ τῶν πατέρων ἐξεφώνησε σύνοδος. οὐκ ἂν δέ τις εἴποι τι ἑτερογενὲς ὁμοούσιον, ἀλλ' ὧν εἷς καὶ ὁ αὐτός ἐστι τῆς οὐσίας λόγος, τούτοις ἐφαρμόζει πάντως τὸ ὁμοούσιον. εἰ οὖν σάρκινος θεὸς ὁ υἱός, αὐτὸ ὅπερ ἐστὶ τῇ φύσει σὰρξ ὢν κατὰ τὸ προαιώνιον ὄνομα, ὁμοούσιος δὲ τῷ πατρὶ καὶ παρ' αὐτοῦ τοῦ λογογράφου

VG V^{c}F v 8 post νοήματα add καὶ ὀνόματα V^{c}F 15 post ὑπόστασιν add εἶπε V^{c}F

εἶναι οὐκ ἀμφιβάλλεται, ἐκεῖνα δὲ ἀλλήλοις ἐστὶν ὁμοούσια, τὰ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας ὑπογραφόμενα, ἄρα καὶ τὴν τοῦ πατρὸς φύσιν ἀνθρωπίνην τινὰ καὶ σαρκικὴν ὁ Ἀπολινάριος ὑποτίθεται, ἵνα σώσῃ ἐπ᾿ ἀμφοτέρων τοῦ ὁμοουσίου τὸ ὄνομα, ὥστε δυοῖν θάτερον, ἢ ἀσώματον τὸν πατέρα λέγων, σαρκίνην δὲ τοῦ υἱοῦ τὴν θεότητα τῷ ἑτεροουσίῳ συνθήσεται, ἢ τὸ κοινὸν τῆς θεότητός τε καὶ τῆς οὐσίας ὁμολογῶν ὁμοίως ἐπὶ πατρός τε καὶ υἱοῦ ἀποσαρκώσει καὶ ἐπὶ πατρὸς τὴν τῆς θεότητος φύσιν. ἀλλ᾿ ὥσπερ διορθούμενος τὴν ἀτοπίαν ταύτην ἐν τοῖς πρὸ τούτου φησί, τοῦ Ζαχαρίου τὴν ῥῆσιν πρὸς τὸ δοκοῦν ἑρμηνεύων ὡς ἐκ προσώπου τοῦ πατρὸς περὶ τοῦ υἱοῦ λέγων, εἰρῆσθαι τὸ σύμφυλον, ὅπερ ἐστὶ συμφυῆ τε καὶ ὁμοούσιον· εἰ μὲν οὖν ὀρθῶς ἢ μὴ τοῦτο ὑπείληφεν, ἑτέρου λόγου, ὃ δ᾿ οὖν κατασκευάζει, τοῦτό ἐστι· Δηλοῖ, φησί, διὰ τούτων ὁ προφητικὸς λόγος, ὅτι οὐ κατὰ τὴν σάρκα ὁμοούσιος τῷ θεῷ, ἀλλὰ κατὰ τὸ πνεῦμα τὸ ἡνωμένον τῇ σαρκί. πῶς τοίνυν ἑνοῦται σαρκὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως ὁ σαρκώδης αὐτοῦ θεός, ὅτε οἱ αἰῶνες οὐκ ἦσαν οὐδὲ ἄλλο τι τῶν τῆς κτίσεως ἦν; ἡ δὲ σὰρξ πολλοστόν τε καὶ ἔσχατον τῶν ἐν τῇ κτίσει γεγονότων ἐστίν. ποίᾳ τοίνυν ἡνώθη σαρκὶ μήπω τῆς ἀνθρωπίνης φύσεως παρελθούσης εἰς γένεσιν; ἀλλ᾿ ἑτέραν τινὰ οἶδε σάρκα παρὰ τὸν ἄνθρωπον. καὶ πῶς φησιν, ὅτι αὐτὸς ὁ ἄνθρωπος, ὁ λαλήσας ἡμῖν τὰ τοῦ πατρός, ἐκεῖνός ἐστι θεὸς ποιητὴς τῶν αἰώνων; τίς ἡμῖν ἑρμηνεύσει τῶν καινῶν τούτων αἰνιγμάτων τὴν ἀτοπίαν; ἄνθρωπος πρὸ τοῦ γενέσθαι ἄνθρωπον καὶ σὰρξ τῆς ἰδίας δημιουργίας προγενεστέρα καὶ προαιώνιον τὸ ἐπ᾿ ἐσχάτων χρόνων γενό-
1164 M. μενον καὶ ὅσα ἄλλα τοιαῦτα κατὰ τὸν λόγον συγκεχυμένως διέξεισιν.

Ἀλλ᾿ ὁ μὲν λογογράφος κατὰ τὸ δοκοῦν ἐν ταῖς τῶν λογισμῶν ἀνοδίαις διαπλανάσθω· ἡμεῖς δὲ τὴν ἀποστολικὴν

VG V^{c}F v 1 εἶναι om V v 5 ὥστε libri: ὡς τοῖν v 6 διὰ post δὲ add V^{c}F 10 cf p 154, 28 sq 13 ἐμφυῆ ut vid G 19 ante οἱ add γάρ V^{c}F 24 τοῦ om G

διδασκαλίαν τὴν παρ' αὐτοῦ τούτου μνημονευθεῖσαν εἰς ἔλεγχον τῶν ἀσεβῶν ὑπολήψεων παραθέντες πρὸς τὰ ἑξῆς τοῦ λόγου δραμούμεθα. Ὃς ἐν μορφῇ θεοῦ, φησίν, ὑπάρχων. οὐκ εἶπε μορφὴν ἔχων ὁμοίαν θεοῦ, ὅπερ ἐπὶ τοῦ καθ' ὁμοίωσιν θεοῦ γεγονότος λέγεται, ἀλλ' ἐν αὐτῇ ὑπάρχων τοῦ θεοῦ τῇ μορφῇ· πάντα γὰρ τὰ τοῦ πατρὸς ἐν τῷ υἱῷ. οὐκοῦν καὶ τὸ ἀΐδιον καὶ τὸ ἄποσον καὶ τὸ ἄϋλον καὶ ἀσώματον, ὡς ἂν διὰ πάντων σῴζοιτο τοῦ πατρικοῦ χαρακτῆρος ἐν τῷ υἱῷ ἡ μορφή· καὶ ὢν ἴσα θεῷ. ποίαν ἡ ἰσότης διαφορᾶς τινος ἢ παραλλαγῆς ἔννοιαν ὑπολείπεται; πῶς δ' ἂν ἐφαρμοσθείη τοῖς κατὰ τὴν φύσιν παρηλλαγμένοις τὸ ἴσον; εἰ γὰρ ὁ μὲν σαρκώδης τὴν φύσιν, ὁ δὲ καθαρεύων ἀπὸ σαρκός, πῶς ἄν τις εἰς ἴσον ἄγοι τὸ τοιοῦτον τῷ μὴ τοιούτῳ; Ἐκένωσεν ἑαυτόν, φησί, μορφὴν δούλου λαβών. τίς ἡ δουλικὴ μορφή; πάντως τὸ σῶμα· οὐ γὰρ ἕτερόν τι παρὰ τοῦτο παρὰ τῶν πατέρων ἠκούσαμεν. οὐκοῦν ὁ εἰπὼν ὅτι μορφὴν ἔλαβε δούλου, σὰρξ δέ ἐστιν ἡ μορφή, ἄλλο τι ὄντα αὐτὸν κατὰ τὴν θείαν μορφήν, ἄλλο τι οὖσαν τῇ φύσει τὴν δουλικὴν μορφὴν εἰληφέναι λέγει. ἀλλὰ καὶ ἡ τοῦ ἐκένωσε λέξις σαφῶς παρίστησι τὸ μὴ ἀεὶ τοῦτο εἶναι, ὅπερ ἡμῖν ὤφθη, ἀλλ' εἶναι μὲν ἐν τῷ πληρώματι τῆς θεότητος ἴσα θεῷ ἀπρόσιτον καὶ ἀπροσπέλαστον καὶ μάλιστά γε τῇ βραχύτητι τῆς ἀνθρωπίνης οὐδενείας ἀχώρητον· χωρητὸν δὲ τῇ ἐπικήρῳ τῆς σαρκὸς φύσει τότε γενόμενον, ὅτε ἐκένωσε, καθώς φησιν ὁ ἀπόστολος, τὴν ἄφραστον αὐτοῦ τῆς θεότητος δόξαν καὶ τῇ βραχύτητι ἡμῶν συγκατεσμίκρυνεν, ὥστε ὃ μὲν ἦν, μέγα καὶ τέλειον καὶ ἀπερίληπτον ἦν, ὃ δὲ ἔλαβεν, ἰσομέγεθες ἦν τῷ ἡμετέρῳ μέτρῳ τῆς φύσεως. Ἐν ὁμοιώματι γάρ, φησίν, ἀνθρώπου γενόμενος καὶ σχήματι, ὡς οὐκ ἔχων δηλονότι ἐξ ἀρχῆς περὶ ἑαυτὸν τῆς τοιαύτης φύσεως τὸ ὁμοίωμα οὐδὲ πρός τινα σωματώδη τύπον σχηματιζόμενος. πῶς γὰρ ἂν περιτυπωθείη τῷ ἀσωμάτῳ σχήματος

3 Phil 2, 6 14 Phil 2, 7 29 Phil 2, 7

VG V^c^F v 15 τὸ σῶμα πάντως G 16 τοῦτο libri: τούτου v 23 ἀχώρηστον v 30 αὐτὸν VG v

τύπος; ἀλλὰ τότε ἐν σχήματι γίνεται, ὅτε σχηματιζόμενος ἑαυτῷ περιτίθησιν. τοῦτο δέ ἐστιν ἡ τοῦ σώματος φύσις.

Εὑρεθεὶς τοίνυν ὡς ἄνθρωπος — καὶ γὰρ καὶ ἄνθρωπος, εἰ καὶ μὴ δι' ὅλου ἄνθρωπος, ἀλλ' ὡς ἄνθρωπος διὰ τὸ κατὰ τὴν παρθενίαν μυστήριον, ὡς ἂν φανερὸν διὰ τοῦτο γένοιτο, ὅτι οὐ διὰ πάντων τοῖς νόμοις τῆς ἀνθρωπίνης ἐδούλευσε φύσεως, ἀλλὰ θεϊκῶς ἑαυτὸν εἰσοικίσας τῷ βίῳ 1165 M. καὶ μὴ δεηθεὶς τῆς ἐκ τοῦ γάμου συνεργίας πρὸς τὴν κατασκευὴν τοῦ ἰδίου πλάσματος — εὑρίσκεται οὐ διὰ πάντων κοινὸς ἄνθρωπος διὰ τὸ παρηλλαγμένον αὐτοῦ τῆς συστάσεως, ἀλλ' ὡς ἄνθρωπος. καὶ οὕτως ἐταπείνωσεν ἑαυτὸν ἀτρέπτως γενόμενος ἄνθρωπος. εἰ γὰρ ἀπ' ἀρχῆς τοῦτο ἦν, ἐν τίνι γέγονεν ἡ ταπείνωσις; νῦν δὲ ὁ ὕψιστος διὰ τῆς πρὸς τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν ἑνώσεως ἑαυτὸν ἐταπείνωσεν. ἑνωθεὶς γὰρ τῇ μορφῇ τοῦ δούλου, ἣν ἔλαβε, καὶ ἓν πρὸς αὐτὴν γενόμενος, οἰκειοῦται τὰ τοῦ δούλου πάθη καὶ καθάπερ καὶ ἐν ἡμῖν γίνεται διὰ τῆς πρὸς τὰ μέλη συμφυΐας, <ὅτι>, ἐάν τι τῷ ἄκρῳ συμπέσῃ τοῦ ὄνυχος, τὸ πᾶν τῷ πεπονθότι συνδιατίθεται ἐφ' ὅλον τὸ σῶμα διηκούσης τῆς συναισθήσεως, οὕτως ὁ ἑνωθεὶς ἡμῶν τῇ φύσει οἰκειοῦται τὰ ἡμέτερα πάθη, καθώς φησιν Ἠσαΐας ὅτι αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε καὶ τὰς νόσους ἐβάστασε τὴν ὑπὲρ ἡμῶν ὑποστὰς πληγήν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν· οὐχ ὅτι ἡ θεότης ἐμωλωπίσθη, ἀλλ' ὁ προσφυεὶς διὰ τῆς ἑνώσεως τῇ θεότητι ἄνθρωπος, οὗ ἡ φύσις δεκτικὴ μώλωπος γενέσθαι δύναται· ταῦτα δὲ γίνεται, ὅπως ἂν διὰ τῶν αὐτῶν πάλιν ὁδῶν ἡ τῆς κακίας ὁδὸς ἀναλυθείη. ἐπειδὴ γὰρ διὰ τῆς παρακοῆς τοῦ πρώτου ἀνθρώπου ὁ θάνατος εἰσῆλθε, τούτου χάριν διὰ τῆς ὑπακοῆς τοῦ δευτέρου ἀνθρώπου ἐξοικίζεται.

21 Matth 8, 17 (Is 53, 4) 22 Is 53, 5 27 Rom 5, 19

VG V^c^F v 3 καὶ ante ἄνθρωπος: ὁ F 8 δεηθεὶς τῆς ἐκ τοῦ γάμου om G συνεργίας corr ex συνεργείας G: συνεργείας V, ἐνεργείας V^c^F v 17 μέρη F ὅτι addidi 24 ἑνώσεως VGF v: ἀνακράσεως supra V^c^, in marg F 26 δέ om VG ὅπως: ἵνα V^c^, in marg F 28 πρώτου rasura deletum videtur, postquam verba 28-29 εἰσῆλθε — ἀνθρώπου exciderunt G,

διὰ τοῦτο ὑπήκοος μέχρι θανάτου γίνεται, ἵνα διὰ μὲν τῆς ὑπακοῆς τὸ ἐκ τῆς παρακοῆς θεραπεύσῃ πλημμέλημα, διὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως τὸν συνεισελθόντα τῇ παρακοῇ θάνατον ἐξαφανίσῃ. ἀφανισμὸς γάρ ἐστι θανάτου ἡ ἐκ θανάτου τοῦ ἀνθρώπου ἀνάστασις· Διό, φησί, καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν. τοῦτο καθάπερ σφραγίς τις τῆς προλαβούσης διανοίας ἐστίν. δῆλον γάρ, ὅτι τὸ ὕψιστον τοῦ ὑψωθῆναι οὐκ ἐπιδέεται, ἀλλὰ τὸ ταπεινὸν εἰς ὕψος αἴρεται, νῦν γινόμενον ὃ μὴ πρότερον ἦν· ἑνωθεῖσα γὰρ τῷ κυρίῳ ἡ ἀνθρωπίνη φύσις συνεπαίρεται τῇ θεότητι καὶ τὸ ὑψούμενον ἐκεῖνό ἐστι τὸ ἐκ τοῦ ταπεινοῦ ἐπαιρόμενον· ταπεινὸν δὲ ἡ τοῦ δούλου μορφὴ <ἡ> διὰ τῆς ὑψώσεως γινομένη Χριστός τε καὶ κύριος. καὶ ἐπειδὴ ὁ κατὰ Χριστὸν ἄνθρωπος κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν ὀνόματι κατὰ τὸ ἰδιάζον προσηγορεύθη διὰ τῆς γενομένης τῇ παρθένῳ παρὰ τοῦ Γαβριὴλ μυσταγωγίας καὶ τὸ ἀνθρώπινον, καθὼς εἴρηται, Ἰησοῦς ὠνομάσθη, ἡ δὲ θεία φύσις ἀπερίληπτός ἐστιν ὀνόματι, ἓν δὲ τὰ δύο διὰ τῆς ἀνακράσεως γέγονε· τούτου χάριν καὶ ὁ θεὸς ἐκ τοῦ ἀνθρωπίνου κατονομάζεται. ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψει καὶ ὁ ἄνθρωπος ὑπὲρ ὄνομα γίνεται, ὅπερ ἴδιόν ἐστι τῆς θεότητος τῆς δηλωθῆναι μὴ δυναμένης
1168 M. ὑπό τινος ὀνομαστικῆς σημασίας, ἵν' ὥσπερ ἐν τῷ ταπεινῷ τὸ ὑψηλὸν γίνεται, οὕτως ἀντιλάβῃ τὸ ταπεινὸν τὰ ὑψηλὰ ἰδιώματα· ὡς γὰρ διὰ τοῦ ἀνθρώπου ὀνομάζεται ἡ θεότης, οὕτως ὑπὲρ ὄνομα γίνεται τὸ ἐκ τοῦ ταπεινοῦ συνεπαρθὲν τῇ θεότητι· καὶ ὥσπερ ἡ ἀτιμία τῆς δουλικῆς μορφῆς εἰς τὸν θεὸν τὸν ἀνακραθέντα τῷ δούλῳ τὴν ἀναφορὰν ἔχει, οὕτω καὶ ἡ προσκύνησις τῆς θεότητος ἡ παρὰ πάσης

5 Phil 2, 9   15 Luc 1, 31   19 Phil 2, 10

πρώτου om VF, α^{του} (i e πρώτου) supra V^{c} εἰσῆλθε — ἀνθρώπου in marg V^{c} VG in marg εἰς τοῦ β^{του} (i e δευτέρου) ἀνθρώπου, iuxta δευτέρου F

VG V^{c}F v 2 τὸ ἐκ τῆς παρακοῆς om V   5 ἡ ἐκ θανάτου om V   9 γενόμενον VG v, corr V^{c}F   ἡ add Jaeger   20 ante ὄνομα add πᾶν V^{c}F (cf 25 et Ad Theoph 127, 12)   21 δουλωθῆναι v

κτίσεως προσαγομένη τῷ ἑνωθέντι πρὸς τὴν θεότητα γίνεται καὶ οὕτως Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός. Ἀμήν.

Ἀλλ' ἔοικεν, οἷον ἐπερυθριῶν αὐτὸς ἑαυτῷ καὶ τῇ ἀτοπίᾳ τῶν εἰρημένων ἐπαισχυνόμενος, ἀνατίθεσθαι τρόπον τινὰ τὰ κατεσκευασμένα καὶ ἐπιγεννηματικὴν τοῦ υἱοῦ τὴν πρὸς τοὺς ἀνθρώπους ὁμοιότητα βούλεσθαι κατασκευάζειν. φησὶ γὰρ Ἰδοὺ τοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ ἡ πρὸς πατέρα ἰσότης προϋπάρχουσα, ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη. μεταγινώσκειν ἔοικε ἐπὶ τοῖς εἰρημένοις καὶ ποιείτω γε τοῦτο μόνον ἀπὸ καρδίας τῆς ἀτόπου δόξης μεταβαλλόμενος καὶ ἡμεῖς τῶν ἐλέγχων παυσόμεθα. ἀλλὰ δοκεῖ δι' ὧν ποιεῖ, ἄλλης ἀτοπίας διὰ τῆς ἐν τούτοις εὐγνωμοσύνης τὰς ἀφορμὰς καταβάλλεσθαι. φησὶ δὲ οὕτω κατὰ τὴν λέξιν Καὶ τί τούτων σαφέστερον, εἰς τὸ μὴ ἕτερον μεθ' ἑτέρου εἶναι, θεὸν τέλειον μετὰ τελείου ἀνθρώπου; ὅτι μὲν οὖν οὐδὲ μίαν κοινωνίαν ὁ λόγος οὗτος ἔχει πρὸς τὰ προάγοντα, φανερὸν ἂν εἴη πᾶσι τοῖς ἐπισταμένοις ἕπεσθαι λόγῳ. πῶς γὰρ ἀποδείκνυσιν ἡ πρὸς πατέρα ἰσότης προϋπάρχουσα καὶ ἡ πρὸς ἀνθρώπους ὁμοιότης ἐπιγινομένη, καθὼς αὐτός φησι, τὸ μὴ εἶναι ἄνθρωπον τέλειον, δι' οὗ ὁ τέλειος θεὸς ἐνηνθρώπησεν; ὅμοιον γὰρ ὥσπερ ἂν εἴ τις ἀφεστάναι τὸν οὐρανὸν τῆς γῆς λέγων ἔπειτα διὰ τούτων εἴποι φανερὸν γίνεσθαι τὸ βαρύτερον εἶναι τοῦ κασσιτήρου ἐν ἴσῳ σηκῷ τὸν μόλυβδον καὶ βάρος νομίσειε τὴν οὐρανίαν ἀπόστασιν, οὕτως οὐδὲ τὸ ἐλλιπὲς τῆς

2 Phil 2, 10

VG V^cF v l 3 κάμπτει libri v. correxi καὶ ante ἐπιγείων et ante καταχθονίων om VG 7 ἀνατίθεται F 8 ἐπιγεννηματικὴν correxi (cf 163, 2; 204, 8): διηγηματικήν G, δογματικήν V, ἐπιγεννητικήν V^cF v l 9 in marg σαι (i e κατασκευάσαι) V^cF 11 προϋπάρχουσα V^c G l (cf 166, 13): ὑπάρχουσα cet v 12 ὁμοιότης om V 19 οὖν om VG 27 κασσιτέρου v σηκῷ VG. v: ὄγκῳ V^cF 28 νομίσει libri v, correxi ἐλλιπὲς corr ex ἐλλειπὲς G supra ει V^c

ἀνθρωπότητος, δι᾽ ἧς ἐν τῇ φύσει ἡμῶν ὁ θεὸς γίνεται, εἴποι τις ἂν ἀποδείκνυσθαι ἐκ τοῦ ἐπιγεννηματικὴν ὁμολογεῖσθαι τὴν πρὸς ἀνθρώπους τοῦ υἱοῦ ὁμοιότητα. ἀλλὰ τὴν μὲν ἀσέβειάν τε καὶ τὴν ἄνοιαν τῆς τοιαύτης ὑπολήψεως ἐπιδεῖξαι μικρὸν ὑπερθήσομαι, νυνὶ δὲ καθεξῆς τοῖς γεγραμμένοις κατὰ λέξιν διευθῦναι τὸν λόγον πειράσομαι, ὅσαπερ ἂν ὑπαίτια κατὰ τὸ πρόχειρον ᾖ. φησὶ γὰρ μὴ εἶναι θεὸν τέλειον μετὰ ἀνθρώπου τελείου. τέως ἐνταῦθα πότερον ἀτελῆ τῶν εἰρημένων ὠνόμασεν, ἀφῆκεν ἀμφίβολον καὶ τῷ
69 M. ἀδήλῳ τοῦ σημαινομένου πρὸς ἑκάτερον ἐπίσης ἡ διάνοια βλέπει καὶ οὐκ ἔστιν ἐξ ὧν ἠκούσαμεν περὶ τίνα νομίζει τὸ ἀτελὲς διδαχθῆναι, περὶ τὸν θεὸν ἢ τὸν ἄνθρωπον ἢ καὶ περὶ ἀμφοτέρων τὸ ἴσον οἴεται. αὐτὸν εἶναι φησὶ θεὸν μὲν πνεύματι τὴν τοῦ θεοῦ δόξαν ἔχοντα, ἄνθρωπον δὲ σώματι τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσαντα μορφήν. εἶπε θεόν, εἶπε καὶ ἄνθρωπον· φανερὸν δὲ πᾶσιν, ὅτι οὐ ταὐτὸν τῶν ὀνομάτων τούτων τὸ σημαινόμενον, ἀλλ᾽ ἴδιος μὲν ὁ τῆς θεότητος, ἕτερος δὲ ὁ τῆς ἀνθρωπότητος ἑρμηνευτικός ἐστι λόγος. θεὸς μὲν γάρ ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον πάντων ἀγαθῶν αἴτιον, οὔτε ποτὲ μὴ ὂν οὔτε μὴ ἐσόμενον· ἄνθρωπος δὲ τὰ μὲν ἄλλα συγγενῶς πρὸς τὴν τῶν ἀλόγων φύσιν διάκειται καὶ διὰ σαρκὸς καὶ αἰσθήσεως παραπλησίως αὐτοῖς διοικούμενος, τῇ δὲ τοῦ νοῦ προσθήκῃ τῶν ἀλόγων κεχωρισμένος ἐν τούτῳ τὸ ἰδιάζον ἔχει τῆς φύσεως. οὐ γὰρ ἄν τις ἄνθρωπον ὁριζόμενος ἀπὸ σαρκῶν τε καὶ ὀστέων καὶ αἰσθητηρίων ὁρίσαιτο οὐδὲ τὴν βρωτικήν τε καὶ ἀλλοιωτικὴν δύναμιν εἰπών τις τὸ ἴδιον τῆς ἀνθρωπίνης ἐνεδείξατο φύσεως, ἀλλὰ τὸ διανοητικὸν καὶ λογικὸν τὸν ἄνθρωπον ἔδειξεν. ἴσον οὖν ἐστιν ἢ διὰ τοῦ ὀνόματος ἑρμηνεῦσαι τὴν φύσιν ἢ διὰ τοῦ

VG V^c^F v l 1 δι᾽ ἣν VG 2 ἐπιγεννηματικὴν v: ἐπιγενηματικὴν libri 8 ὁπότερον V^c F l 11 in marg τὸ δι᾽ οὗ libri νομίζειν libri, corr v 13 φασι VG 16 ὅτι om VG (cf 160, 17) ταὐτὸ v 20 post οὔτε alt add ποτὲ V^c^F v δὲ V^c^F v: μὲν VG 26 βροτικὴν V, κρωτικὴν F τε καὶ ἀλλοιωτικὴν om VG 28 τε ante καὶ add V^c^F (cf 143, 14)

ἰδίως παρεπομένου τῇ φύσει. ὅ τε γὰρ ἄνθρωπον εἰπὼν τὸ λογικὸν ἐνεδείξατο ὅ τε λογικὸν ὀνομάσας τὸν ἄνθρωπον διὰ τῆς φωνῆς ταύτης ἀπέδειξεν. οὐκοῦν καὶ ὁ Ἀπολινάριος θεὸν καὶ ἄνθρωπον ὀνομάσας, εἴπερ τὰς ἐμφαινομένας τῇ θεότητι σημασίας τῇ φωνῇ ταύτῃ συμπεριέλαβεν, οὐδ' ἂν τοῦ ἀνθρώπου τὸ σημαινόμενον διὰ τῆς ἑρμηνείας λωβήσαιτο. ἀλλ' εἴπερ ἄνθρωπος λέγεται, ἔστι πάντως ἡ κλῆσις ἀληθὴς καὶ οὐ ψευδώνυμος· τὸ δὲ ἀληθὲς τοῦ ὀνόματος ἐν τῷ λογικὸν εἶναι ζῷον τὸν οὕτω κατονομαζόμενον ἐπιδείκνυται, ὁ δὲ λόγος ἐκ διανοίας πάντως· ὥστε εἰ ἄνθρωπος, καὶ διανοητικὸς ἐξ ἀνάγκης· εἰ δὲ οὐ διανοητικός, οὐδὲ ἄνθρωπος.

Ἀλλ' ἄνθρωπος ἦν τῷ σώματι, φησί, τὴν τῶν ἀνθρώπων ἄδοξον φορέσας μορφήν. ταῦτα μὲν οἴκοθεν καὶ οὐκ ἐκ τῆς γραφικῆς ἡμῖν διδασκαλίας προβάλλεται· πλὴν ὡς ἂν καὶ ἀπ' αὐτῶν ὧν λέγει πρὸς τοὐναντίον αὐτῷ περιτραπείη τὸ σπουδαζόμενον, οὑτωσὶ τὸν λόγον κατανοήσωμεν. τὴν ἄδοξον, φησίν, ἐφόρεσε τῶν ἀνθρώπων μορφήν. τίς δόξα ἀνθρώπου, πρῶτον ἐπισκεψόμεθα καὶ οὕτως ἐκ τοῦ ἀκολούθου τὴν ἀδοξίαν νοήσομεν. οὐκοῦν δόξα ἀνθρώπου ἥ γε ἀληθὴς δόξα ἡ κατὰ ἀρετήν ἐστι πάντως ζωή. τὸ γὰρ εὐχροίᾳ τινὶ ἢ ὥρᾳ σαρκὸς ἢ τὸ ἔμπαλιν ἀμορφίᾳ σώματος τὴν δόξαν τῶν ἀνθρώπων ἢ τὴν ἀδοξίαν ὁρίζεσθαι τῶν διατεθρυμμένων
1172 M. ἂν εἴη. εἰ οὖν ἡ ἀρετὴ τὸ ἔνδοξον ἐπ' ἀνθρώπων ὁμολογεῖται, ἡ κακία πάντως τὸ ἄδοξον. ἀλλὰ μὴν φησὶ τὸν θεὸν ὁ Ἀπολινάριος τὴν ἄδοξον τῶν ἀνθρώπων ὑπεληλυθέναι μορφήν. εἰ οὖν ἐν κακίᾳ τὸ ἄδοξον, κακία δὲ προαιρέσεως αἶσχός ἐστι, προαιρεῖται δὲ ἡ διάνοια, διάνοια δὲ νοῦ τι κίνημα, ἄρα τὴν ἀνθρωπίνην ἀδοξίαν περὶ τὸν θεὸν βλέπων οὐκ ἀποσχίζει τῆς διανοίας τὸν ἄνθρωπον, δι' οὗ ὁ θεὸς τῇ ἀνθρωπίνῃ ζωῇ καθωμίλησεν. καὶ συμβαίνει γε τοῦτο ταῖς

VG V^c^F v l 3 ἐπέδειξεν V^c^F 4 πάσας ante τὰς add V^c^F ἐμφομένας F 13 ante τὴν add ὁ V^c^F l (cf 163, 15) 19 ἐπισκεψώμεθα libri v, corr Jaeger 20 νοήσωμεν F 24 ὡμολόγηται V^c^F 25 ante τὸ add ἐστὶ V^c^F (cf 164, 10-12) 28 ante τι add ἐστι V^c^F

θείαις γραφαῖς, τὸ δι' ἡμᾶς αὐτὸν ἁμαρτίαν γενέσθαι, τουτέστι τὴν ἁμαρτικὴν τοῦ ἀνθρώπου ψυχὴν πρὸς ἑαυτὸν ἑνῶσαι. Κύριον, φησίν, ἐν δουλικῷ φανέντα σχήματι· ἆρα ὁ δοῦλος οὗτος, οὗ τὸ σχῆμα ὑπέδυ ὁ κύριος, ἄρτιος ἦν ἢ λελώβητο; τὸ γὰρ ἐλλιπές τε καὶ ἠκρωτηριασμένον κατὰ τὴν τοῦ ζῴου συμπλήρωσιν λώβην ἄν τις εἰκότως προσαγορεύσειεν. Οὐκ ἄνθρωπος, φησίν, ἀλλ' ὡς ἄνθρωπος, διότι οὐχ ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον· εἰ μὴ ὁμοούσιος, ἑτεροούσιος πάντως· ὧν δὲ ὁ λόγος τῆς οὐσίας ἕτερος, τούτοις οὔτε ἡ φύσις κοινὴ οὔτε ἡ κλῆσις. ἄλλη πυρὸς οὐσία καὶ ὕδατος ἄλλη καὶ αἱ προσηγορίαι τῶν δύο διάφοροι· Πέτρος δὲ καὶ Παῦλος, ἐπειδὴ φύσις μία, καὶ τὸ ὄνομα τῆς οὐσίας κοινόν· ἄνθρωπος γὰρ τούτων ἑκάτερος. εἰ οὖν ἄλλο τι κατὰ τὴν οὐσίαν ἦν καὶ οὐκ ἄνθρωπος, ἀλλὰ μέχρι τοῦ φαινομένου κατὰ ἄνθρωπον ἐσχηματίζετο, τῇ δὲ ἀληθείᾳ κατὰ τὴν φύσιν παρήλλακτο, λεγέτω πάντα δόκησιν εἶναί τινα καὶ ἀπατηλὴν φαντασίαν, ψευδὴς κατ' αὐτὸν ἡ βρῶσις, ψευδὴς ὁ ὕπνος, ἀνύπαρκτα πάντα τὰ κατὰ τὰς ἰάσεις θαύματα, οὐ γέγονεν ὁ σταυρός, οὐχ ἡ ἐν μνημείῳ θέσις, οὐχ ἡ ἐκ τοῦ πάθους ἀνάστασις· ἀλλὰ δοκήσει μὲν τὰ πάντα ἐφαίνετο, ἦν δὲ κατὰ τὸν τοῦ λογογράφου λόγον τῶν φαινομένων οὐδέν. εἰ γὰρ ἄνθρωπος οὐκ ἦν, πῶς τὰ περὶ αὐτὸν ἱστορούμενα ἦν; πῶς δ' ἂν εἴποι τις εἶναι ἄνθρωπον τὸν τῆς ἀσθρωπίνης οὐσίας ἀλλότριον; οὐ γὰρ ἦν, φησίν, ὁμοούσιος τῷ ἀνθρώπῳ κατὰ τὸ κυριώτατον· ὁ δὲ τὸ κυριώτατον ἀφαιρῶν τοῦ ἀνθρώπου, τοῦτο δέ ἐστιν ὁ νοῦς, κτῆνος ἀπέδειξε τὸ λειπόμενον· τὸ δὲ κτῆνος οὐκ ἄνθρωπος. εἶτά φησι Ταπεινώσαντα ἑαυτὸν σαρκί, ὑπερυψωθέντα δὲ ὑπὸ θεοῦ τὴν θείαν ὕψωσιν. τουτὶ πάλιν τῶν προλαβόντων μετὰ ἀσεβείας ἀνοητότερον. ἄλλον φησὶ τεταπεινῶσθαι καὶ ἕτερον ὑπερυψῶσθαι. ἡ σάρξ, φησί, τεταπείνωται, καίτοι οὐδὲν τοῦ ταπεινω-

VG V[c]**F v** 2 ἁμαρτητικὴν F 5 ἐλλειπές v, correxerunt VG (cf 162, 28) 8 κατὰ: διὰ V 15 μέχρι V[c]F v: μὲν χρὴ VG 25 ἦν V[c]F v l: ἂν VG 28 ἑαυτὸν add V[c]F l: om VG v

θῆναι προσδεομένη ἡ τὸ ταπεινὸν ἐκ φύσεως ἔχουσα, τὴν δὲ θεότητα ὑπερυψοῦσθαι λέγει· καὶ μὴν τὸ ὕψιστον ἀνεπιδεὲς τῆς ὑψώσεως· ποῦ τοίνυν ὑπερυψώθη ἡ θεότης ἡ τοῦ παντὸς ὑπερκειμένη καὶ ὑπερανεστῶσα πάσης ὑψώσεως; ἀλλὰ τὸ τῇ φύσει ταπεινὸν ὑψοῦται, κἂν ὁ λογογράφος μὴ βούληται, καθὼς μικρῷ πρόσθεν ὁ περὶ τούτων λόγος διήρηται.

1173 M. Πάλιν κατὰ τοὺς ἐν ὕπνῳ παραφθεγγομένους ἀφεὶς τῆς κατασκευῆς τὸ ἀκόλουθον τοῖς ἡμετέροις λόγοις συγκέχρηται καί, ἅπερ ἄν τις εἴποι τῶν ὑγιῶς φρονούντων περὶ τοῦ δόγματος, ταῦτα καὶ αὐτὸς τοῖς ἰδίοις καταμίγνυσι λόγοις. διακρίνει γὰρ τὸ δοξαζόμενον καὶ τὸν τὴν δόξαν ἔχοντα. Δοξάζεται, γάρ φησιν, ὡς ἄνθρωπος· δόξαν δὲ ἔχει πρὸ τοῦ κόσμου ὡς θεὸς προϋπάρχων τῶν αἰώνων. μέχρι τούτων εὐγνωμονῶν. ἀλλ' εἰ μὲν τούτοις τὰ λεγόμενα παρ' αὐτοῦ περιώριστο, ἴσως ἄν τις αὐτὸν ἐκ μεταμελείας ᾠήθη πρὸς τὰς εὐσεβεστέρας ἐλθεῖν τῶν ὑπολήψεων· νυνὶ δὲ καθάπερ καμπτήν τινα τὴν ὑγιῆ ταύτην διάνοιαν τῷ λόγῳ περιοδεύσας πάλιν ἐπὶ τὸ τῆς πλάνης ἐπανατρέχει στάδιον καὶ πολλαῖς καθ' ἡμῶν λοιδορίαις χρησάμενος καὶ Ἰουδαίοις καὶ Ἕλλησι τὸ καθ' ἡμᾶς παρισώσας αὖθις ἐπαναλαμβάνει τῷ λόγῳ τὸν ἔμετον, ὃν ἐν τοῖς προλαβοῦσι φθάσας ἐξήμεσε, τὴν προαιώνιον σάρκα διὰ τῆς ματαιότητος τῶν λόγων τῷ Χριστῷ περιπλάσσων καὶ λέγων νοῦν ἔνσαρκον ὄντα τὸν υἱὸν ἐκ γυναικὸς τεχθῆναι οὐκ ἐν τῇ παρθένῳ σάρκα γενόμενον, ἀλλὰ παροδικῶς δι' αὐτῆς διεξελθόντα, οἷος πρὸ τῶν αἰώνων ἦν, τότε φανερωθῆναι αὐτὸ τὸ φαινόμενον σάρκινον ὄντα θεὸν ἤ, καθὼς αὐτὸς ὀνομάζει, ἔνσαρκον νοῦν. διό φησιν αὐτὸν κύριον δόξης τὸν ἐσταυρωμένον κατονομάζεσθαι καὶ κύριον δυνάμεων παρὰ τῆς προφητείας λέγεσθαι καὶ τὰς αὐθεντικὰς ἐκείνας καὶ δεσποτικὰς ποιεῖσθαι φωνάς, τό Ἐγὼ λέγω σοι καὶ Ἐγὼ ἐπιτάσσω σοι καὶ Ἐργάζομαι ἐγὼ καὶ ὅσα ἄλλα τῆς

31 Luc 7, 14 Marc 9, 25 32 Joh 5, 17

VG VᶜF v l 2 ὑπερυψῶσθαι v 14 εὐγνωμῶν VG 22 ante σάρκα add ἐκείνην VᶜF l 27 αὐτὸν V

ὑψηλοτέρας ἐμφάσεως ἔχεται. τί οὖν ὁ γεννάδας; ποῦ θήσει τὴν θηλήν, τὰ σπάργανα, τὴν ἐπίρρυτον ζωὴν καὶ ἀπόρρυτον, τὴν κατ' ὀλίγον τοῦ σώματος αὔξησιν, τὸν ὕπνον, τὸν κόπον, τὴν τῶν γονέων ὑποταγήν, τὴν ἀδημονίαν, τὴν λύπην, τὴν ἐπιθυμίαν τοῦ πάσχα, τὴν τοῦ ὕδατος αἴτησιν, τὴν μετουσίαν τῆς βρώσεως, τὰ δεσμά, τὰ ῥαπίσματα, τὰς ἐκ μαστίγων πληγάς, τὴν ἐπὶ τῆς κεφαλῆς ἀκανθοφορίαν, τὴν τοῦ κοκκίνου περιβολήν, τὴν διὰ τοῦ καλάμου ὕβριν, τὴν χολήν, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, τὴν σινδόνα, τὸν ἐνταφιασμόν, τὸ μνημεῖον, τὸν λίθον; πῶς ταῦτα συναρτήσει τῷ θεῷ; εἰ γὰρ ὁ ἔνσαρκος αὐτοῦ θεός, ὅπερ διὰ τῆς Μαρίας ὤφθη, τοῦτο πάντοτε ἦν καὶ τὸ φαινόμενον θεότης ἦν, πάντα ταῦτα ἡ θεότης πάσχει, θηλάζει, σπαργανοῦται, τρέφεται, κοποῦται, αὔξεται, πληροῦται, κενοῦται, ὑπνοῖ, λυπεῖται, ἀδημονεῖ,
1176 M. στενάζει, δίψης καὶ πείνης αἰσθάνεται, πρὸς τὴν συκῆν τρέχει, ἀγνοεῖ τοῦ δένδρου καὶ τῆς ὥρας τὴν καρποφορίαν, τὴν ἡμέραν καὶ τὴν ὥραν οὐκ οἶδε, τύπτεται, δεσμεύεται, ῥαπίζεται, ἥλους δι' ἑαυτῆς δέχεται, αἱμάσσει, νεκρὰ γίνεται, ἐνταφιάζεται, μνήματι καινῷ ἐναποτίθεται. ἆρα συντίθεται οἰκεῖα καὶ κατὰ φύσιν εἶναι τῇ προαιωνίᾳ θεότητι ταῦτα καὶ μὴ ἀνατραφῆναι, εἰ μὴ ἐθήλασε, μηδ' ἂν ὅλως ἐν τῷ ζῆν εἶναι, <εἰ> μὴ τὸ διαπνευσθὲν τῆς δυνάμεως <τῇ> τῆς τροφῆς μετουσίᾳ παρεμυθήσατο; πῶς δὲ καὶ ἀγνοεῖ ὁ ἔνσαρκος αὐτοῦ θεὸς τὴν ἡμέραν καὶ τὴν ὥραν ἐκείνην; πῶς δὲ οὐκ ἐπίσταται τὸν τῶν συκῶν καιρόν, ὅτι κατὰ τὸ πάσχα οὐκ ἂν

15 Marc 11, 13 23 (cf 16-17) Matth 24, 36 24 (cf 15-16) Marc 11, 13

VG V^c F v l 1 ὑψηλωτέρας F 4 ἐπιταγήν v (cf Luc 2, 51 ἦν ὑποτασσόμενος αὐτοῖς, I Tim 3, 4 τέκνα ἔχοντα ἐν ὑποταγῇ) 8 τὴν χολήν G: τὴν λόγχην V v, χολήν sscr V^c, τὴν λόγχην τὴν χολήν F 15 τρέχει VG v: ἔρχεται supra add V^c, in marg F (cf Matth 21, 19 ἦλθεν ἐπ' αὐτήν) 17 δεσμεῖται V (cf Luc 8, 29 ἐδεσμεῖτο text rec, ἐδεσμεύετο Tisch c ℵ B aliique) 22 εἰ addidi secundum Zacagni et (in annotatione) v τῷ διαπνευσθέντι VG v τῇ add Jaeger 23 in marg παραμυθούμενον F 25-168, 1 οὐχ εὑρεθείη V in marg οὐκ ἂν ἔφερε F

ἐφευρεθείη τῷ δένδρῳ καρπὸς εἰς ἐδωδὴν ἐπιτήδειος; τίς ὁ ἀγνοῶν, εἰπάτω; τίς ὁ λυπούμενος; τίς ὁ ἐν ἀμηχανίᾳ στενοχωρούμενος; τίς ὁ ἐγκαταλελεῖφθαι παρὰ τοῦ θεοῦ βοήσας, εἰ μία θεότης πατρὸς καὶ υἱοῦ; καὶ παρὰ τίνος ἡ ἐγκατάλειψις γίνεται, ἣν ἐπὶ τῷ σταυρῷ ἐξεφώνησεν; εἰ γὰρ τὸ πάσχον ἡ θεότης, μιᾶς δὲ εἶναι θεότητος τῷ πατρὶ τὸν υἱὸν οἱ εὐσεβοῦντες συντίθενται — φησὶ δὲ ὁ πάσχων ὅτι Θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; —, πῶς μία οὖσα ἡ θεότης ἐν τῷ πάθει μερίζεται καὶ ἡ μὲν καταλείπει, ἡ δὲ καταλείπεται· ἡ μὲν ἐν θανάτῳ γίνεται, ἡ δὲ ἐν τῇ ζωῇ διαμένει· ἡ μὲν νεκροῦται, ἡ δὲ τὸ νεκρωθὲν διανίστησιν; ἢ γὰρ οὐχ ὁμολογήσει μίαν ἐπὶ πατρός τε καὶ υἱοῦ τὴν θεότητα καὶ συνήγορος Ἀρείου διὰ τοῦτο ἀναφανήσεται ἤ, εἴπερ Ἀρείῳ μαχόμενος μίαν λέγοι, οὐδὲ ἑαυτῷ πάντως συνθήσεται στῆσαι τὸν ἀναπλασθέντα μῦθον ἐν ἑαυτῷ μὴ δυνάμενος. ἀλλὰ κατ' ἀνάγκην τὰς ἐμπαθεῖς ταύτας καὶ ταπεινοτέρας φωνάς τε καὶ διαθέσεις τῷ ἀνθρωπίνῳ προσμαρτυρήσει, ἄτρεπτον δὲ καὶ ἀπαθῆ τοῦ θεοῦ τὴν φύσιν καὶ ἐν τῇ κοινωνίᾳ τῶν ἀνθρωπίνων παθημάτων διαμεμενηκέναι συνθήσεται. καὶ τούτων μάρτυς αὐτὸς ὁ εἰπὼν περὶ αὐτοῦ ὅτι Δοξάζεται μὲν ὡς ἄνθρωπος ἐξ ἀδοξίας ἀναβαίνων, ἔχει δὲ τὴν δόξαν πρὸ τοῦ κόσμου ὡς θεὸς προϋπάρχων. ἡ γὰρ ἀδοξία πάντως ἡ παθητὴ τῆς σαρκὸς φύσις ἐστίν· δόξα δὲ ἄρα αἰώνιος ἡ ἀπαθής τε καὶ ἀκήρατος δύναμις.

Ὡς δ' ἂν μὴ συκοφαντεῖν ἐν τοῖς εἰρημένοις δοκοίημεν, αὐτῶν τῶν κατὰ τὸν νοῦν ἡμῖν προεξετασθέντων καὶ τὴν λέξιν ἐκθήσομαι. Ἕλληνες γάρ, φησί, καὶ Ἰουδαῖοι προφανῶς ἀπιστοῦσι, μὴ καταδεχόμενοι θεὸν ἀκούειν τὸν ἐκ γυναικὸς τεχθέντα. διὰ τί νῦν ἐν

7 Matth 27, 46

VG VᶜF v l 8 οὖσα VᶜF: οὐσία VG v 10 τῇ om V 13 τοῦτο VF v: τούτων G Vᶜ (sic!) 14 εἴπερ: ὑπὲρ F 18 δὲ correxi: τε libri v 27 τὸν om V v 28 ante γάρ add μὲν VᶜF l

τῷ τόκῳ τὴν σάρκα παρεσιώπησε; καίτοι τὸ γεγενημένον 1177 M. ἐκ τῆς σαρκὸς σὰρξ ἦν πάντως, καθώς φησί που ὁ κύριος. ἀλλ' ἐπειδὴ βούλεται αὐτὴν τὴν τεχθεῖσαν σάρκα θεότητα εἶναι καὶ κατασκευάσαι οὐκ ἐν σαρκὶ πεφηνέναι τὸν θεόν, λέγει· Ἀλλὰ θεὸν ἔνσαρκον πρὸ αἰώνων ὄντα μετὰ ταῦτα διὰ γυναικὸς τετέχθαι καὶ πρὸς τὴν τῶν παθημάτων πεῖραν καὶ πρὸς τὴν τῆς φύσεως ἀνάγκην ἐλθεῖν. καὶ ταῦτα λέγων οὐ δίδωσιν αὐτῷ οὐδὲ τὸ ἄνθρωπον εἶναι· ἀλλὰ τοῖς μὲν πάθεσιν ὑπάγει ὡς ἄνθρωπον, τῆς δὲ ἀνθρωπίνης οὐ μεταδίδωσι φύσεως. πῶς γὰρ ἄνθρωπος τὸ μὴ ἐκ γῆς εἶναι λεγόμενον; ἐκ γὰρ τοῦ Ἀδὰμ λέγει ἡ γραφὴ τὸ ἀνθρώπινον γενέσθαι καὶ πρῶτον ἐκεῖνον διὰ τῆς θείας δυνάμεως ἐκ γῆς φῦναι. διὰ τοῦτο καὶ ὁ Λουκᾶς τὸν νομιζόμενον τοῦ Ἰωσὴφ υἱὸν γενεαλογῶν φησι τοῦ Ἀδὰμ ἐξάπτων καθ' ἕκαστον τῶν πατέρων τὴν ἀρχὴν τῆς γενέσεως. ὁ τοίνυν μὴ ἐκ τοῦ γένους τῶν ἀνθρώπων γενόμενος ἄλλο τι πάντως ἐστὶ καὶ οὐκ ἄνθρωπος. ὁ οὖν μήτε ἄνθρωπος τῷ μηδὲν ἔχειν τοῦ ἀνθρωπίνου γένους μήτε θεὸς τῷ μὴ εἶναι ἀσώματος, ἐκεῖνος ὁ ἔνσαρκος τοῦ λογογράφου θεὸς τί ἂν εἴη, λεγέτωσαν οἱ τῆς ἀπάτης αὐτοῦ μαθηταὶ καὶ συνήγοροι· ἀλλ' ἐδέξαντο ἄν, φησίν, Ἕλληνες καὶ Ἰουδαῖοι, εἴπερ ἄνθρωπον ἔνθεον εἶναι τὸν τεχθέντα ἐλέγομεν, ὥσπερ Ἠλίαν. καὶ τίς τῶν Ἑλλήνων τὰ κατὰ τὸν Ἠλίαν θαύματα ὡς ἀληθῆ παρεδέξατο; ὅτι πῦρ διχῇ τῷ σχήματι τυπωθέν, τὸ μὲν εἰς ἅρματος εἶδος τὸ δὲ εἰς ἵππων μορφήν, τὴν ἐναντίαν τῇ οἰκείᾳ φύσει κινεῖται φορὰν ἄνωθεν ἐπὶ τὸ κάτω φερόμενον· καὶ ὅτι μετάρσιος ἐπὶ τοῦ φλογίνου ἅρματος ἡνιοχῶν τὸ πῦρ ὁ Ἠλίας ἀπαθὴς ἐν τῇ φλογὶ διασῴζεται τοῦ πυρὸς τὸ πῦρ ἕλκοντος τοῦ ἐν τοῖς ἵπποις τὸ ἐν τῷ ἅρματι; εἰ γὰρ ταῦτά τις δέξαιτο καθ' ὃν δεῖ τρόπον, δι' αὐτῶν δὴ τούτων

1 Joh 3, 6 12 Gen 2, 7 14 Luc 3, 38 23 IV Reg 2, 11

VG VᶜF v l 6 καὶ πρὸς VG v: κατὰ sscr Vᶜ, κατὰ F l 31 δὴ om G

τῶν λόγων πρὸς τὴν τοῦ μυστηρίου παραδοχὴν ἀναδειχθήσεται τυπικήν τινα προφητείαν περὶ τῆς τοῦ κυρίου ἐνανθρωπήσεως ἐν τῷ διηγήματι βλέπων διὰ τῶν γεγονότων προτυπουμένην. ὡς γὰρ ἀνωφερὲς ὂν τῇ φύσει τὸ πῦρ θείᾳ δυνάμει πρόσγειον γίνεται, ὁ δὲ Ἠλίας περισχεθεὶς τῷ οὐρανίῳ πυρὶ πάλιν πρὸς τὴν κατὰ φύσιν ἐπανατρέχοντι κίνησιν καὶ αὐτὸς συνεπαίρεται, οὕτως ἄϋλός τις οὖσα καὶ ἀειδὴς ἡ τοῦ ὑψίστου δύναμις τὴν δουλικὴν μορφὴν τὴν διὰ τῆς παρθένου ὑποστᾶσαν διαλαβοῦσα πρὸς τὸ ἴδιον ὕψος ἀνήγαγεν εἰς τὴν θείαν τε καὶ ἀκήρατον μεταστοιχειώσασα φύσιν· ὥστε ὁ πρὸς τοῦτο δυσπειθῶς ἔχων οὐδ᾽ ἂν τῇ κατὰ τὸν Ἠλίαν θαυματοποιΐᾳ προσθοῖτο· ὁ δὲ ἐν ἐκείνῳ προκαταμαθὼν σκιαγραφηθεῖσαν τὴν ἀλήθειαν οὐδ᾽ ἂν πρὸς αὐτὴν τὴν ἀλήθειαν ἀντιτύπως ἔχοι.

Εἶτα ἐφ᾽ ἡμᾶς στρέφει τὴν λοιδορίαν τοὺς μὴ παραδε-
1180 M. χομένους αὐτοῦ τὸν ἀναπλασθέντα μῦθον καί φησιν· Οἱ δὲ ἐν σχήματι πίστεως ἄπιστοι τῷ ἐκ γυναικὸς τεχθέντι θεῷ καὶ σταυρωθέντι πρὸς Ἰουδαίων ὁμοίως ἐκείνοις ἐπαισχύνονται. τὸ μὲν οὖν ἀραῖς κατὰ τῶν ὑπεναντίων κεχρῆσθαι, τίς οὐκ οἶδεν ὅτι τῶν ἀτονούντων ἐστὶ περὶ ἃ σπουδάζουσιν ἴδιον; ἡμεῖς δὲ τοσοῦτόν φαμεν, ὅτι δύο προκειμένων βαράθρων, ἔνθεν μὲν τοῦ κατὰ τὸν Ἀπολινάριον, ἑτέρωθεν δὲ τοῦ κατὰ τὸν Ἄρειον πτώματος, ἴσον μὲν καθ᾽ ἑκάτερον τοῖς καταπίπτουσίν ἐστι τὸ σύντριμμα· πλὴν ἐν κακῶν ἐκλογῇ κουφότερον δοκεῖ τὸ κατὰ τὸν Ἄρειον κλάσμα. ἀμφότεροι μὲν γὰρ πρὸς τὸ ταπεινότερον τὴν ἀκήρατον τοῦ μονογενοῦς φύσιν καθέλκουσιν· ἀλλ᾽ ὁ μὲν Ἄρειος τῇ ἀσωμάτῳ τῶν ἀγγέλων φύσει

VG V^{c}F v 1 τὸν λόγον VG v 1-2 ἐνδειχθήσεται V, supra add V^{c}F 7 οὖσα in marg V^{c}F: οὐσία in textu libri v (cf 168, 8) 9 παρθένου v: παρθενίας libri ὑποστᾶσαν libri: ὑπόστασιν v 11 ὁ in marg G v: ὡς in textu G et ceteri 19 post ἐπαισχύνονται add διὸ καὶ αὐτὸς ἐπαισχυνθήσεται αὐτούς (secundum Marc 8, 38) V^{c}F v l, at non congruit cum dativo apud ἐπαισχύνονται posito 20 χρῆσθαι v l Zacagni 24 ἑκάτερον supra et in marg V^{c}F: ἕτερον VG v

προσοικειοῖ τὸν τῶν ἀγγέλων δεσπότην κατὰ τὸ ἴσον ἠλαττῶσθαι τῆς τοῦ ἀκτίστου φύσεως καὶ τοῦτον κἀκείνους διὰ κτίσεως εἶναι ἀποφηνάμενος· οὗτος δὲ τοσοῦτον ἐπιτείνει τὴν ἀτοπίαν, ὥστε καὶ ἀνθρώπῳ τῷ παρ' ἀγγέλους ἠλαττωμένῳ κρίνειν ὁμότιμον καὶ σαρκώδη εἶναι τὴν φύσιν αὐτοῦ διορίζεσθαι. ὅσῳ δὲ κρείττων τῶν σωμάτων ἡ ἀσώματος φύσις, τοσοῦτον ἡ κατὰ Ἄρειον ἀσέβεια τῆς Ἀπολιναρίου πλάνης αἱρετωτέρα. τίς οὖν ἐν σχήματι πίστεως ἄπιστος ἑρμηνεύων τὸ ἐκ τῆς παρθένου μυστήριον; προθήσω γὰρ τῷ κοινῷ τήν τε κωμῳδουμένην ἡμῶν παρὰ τοῦ λογογράφου πίστιν καὶ τὴν ἐκείνου ὑπόληψιν. ἡμεῖς γάρ φαμεν, ὅτι ἄϋλός τε καὶ ἀειδὴς καὶ ἀσώματος κατ' οὐσίαν θεὸς ὢν οἰκονομίᾳ τινὶ φιλανθρώπῳ πρὸς τῷ τέλει τῆς τοῦ παντὸς συμπληρώσεως ἤδη τῆς κακίας εἰς τὸ ἀκρότατον αὐξηθείσης, τότε ἐπὶ καθαιρέσει τῆς ἁμαρτίας τῇ ἀνθρωπίνῃ κατακιρνᾶται φύσει, οἷόν τις ἥλιος ἐν γνοφώδει σπηλαίῳ εἰσοικιζόμενος καὶ διὰ τοῦ φωτὸς ἐξαφανίζων τῇ παρουσίᾳ τὸ σκότος. τὸν γὰρ ἡμέτερον ῥύπον εἰς ἑαυτὸν ἀναλαβὼν οὐκ αὐτὸς ἐμμολύνεται τῷ μιάσματι, ἀλλ' ἐν ἑαυτῷ καθαρίζει τὸν ῥύπον· Τὸ γὰρ φῶς, φησίν, ἐν τῇ σκοτίᾳ ἔλαμψεν· ἡ δὲ σκοτία αὐτὸ οὐ κατέλαβεν. ὥσπερ καὶ ἐπὶ τῆς ἰατρείας γίνεται· ἐπαχθείσης γὰρ τῷ νοσήματι τῆς ἰάσεως εἰς ἀφανισμὸν μεταχωρεῖ τὸ ἀρρώστημα, οὐκ εἰς τὴν ἰατρικὴν τέχνην ἀντιμεθίσταται. οὗτος ὁ ἡμέτερος λόγος. ὁ δέ φησιν ἔνσαρκον εἶναι τὸ κατ' ἀρχὰς τὸν θεὸν καὶ οὕτως ἐπ' ἐσχάτων ἡμερῶν τὸ τεχθὲν ἐκεῖνο τὸ ὁρατὸν καὶ ψηλαφητὸν σῶμα, τὸ διὰ τῆς ἀνθρωπίνης τροφῆς ταῖς κατ' ὀλίγον προσθήκαις αὐξανόμενον, ἐκεῖνο εἶναι ὃ πρὸ τῶν ὄντων ἁπάντων ἦν,

20 Joh 1, 5

VG V^cF v l 2 ἐλατοῦσθαι v 3 οὑτοσὶ V^cF 9 ante ἑρμηνεύων add ὅπως V^cF 11 ὑπόλειψιν F 12 ante θεὸς add ὁ V^cF 14 εἰς: supra et in marg πρὸς V^cG 16 in marg γρ καὶ λύχνος V^cF ἐν om G ζοφ supra γνοφ V^c 25 τὸ: τε VG καταρχὰς libri v, corr l

ὃ καὶ τοὺς ἀνθρώπους ἐποίησε καὶ πᾶσαν κτίσιν ὁρατήν τε καὶ ἀόρατον, ὃ καὶ τοῦ κόπου αἰσθάνεται καὶ ἐν ἀδημονίᾳ θανάτου δέχεται πεῖραν. οὐκ οἶδα πῶς ὁ σοφός, ὅτε μὲν οἱ οὐρανοὶ καὶ ἡ γῆ καὶ πάντα τὰ ἐν τῇ κτίσει συνίστατο θαύματα, κόπον οὐδένα προσ-
1181 M. μαρτυρῶν τῷ ποιήσαντι, ἵνα δὲ διέλθῃ ἀπὸ τῆς Ἰουδαίας ἐπὶ τὴν Γαλιλαίαν, ἐν κόπῳ αὐτὸν γεγενῆσθαι λέγων· καὶ τοῖς μὲν Ἰσραηλίταις στρέφειν τὴν πέτραν εἰς λίμνας ὑδάτων, αὐτὸν δὲ πιεῖν αἰτεῖν παρὰ γυναικὸς Σαμαρείτιδος· καὶ ἐν τεσσαράκοντα ἔτεσι μὴ κάμνειν τοσαύταις μυριάσι τὴν οὐρανίαν τροφὴν ἐπιχέοντα, αὐτὸν δὲ πρὸς τὴν συκῆν δραμεῖν ἐλπίδι βρώσεως τῆς μὴ οὔσης. τοιαύτης οὔσης παρ' ἑκατέροις τῆς τοῦ δόγματος ὑπολήψεως ὁ συνετὸς ἀκροατὴς ἐφ' ἑαυτοῦ κρινέτω τίς ὁ σχήματι πίστεως ἄπιστος.

Ἀλλά, φησί, λέγειν ἡμᾶς ὅτι ὁ σταυρωθεὶς οὐδὲν εἶχε θεϊκὸν ἐν τῇ ἑαυτοῦ φύσει οὐδὲ αὐτὸ τὸ κυριώτατον, ὅ ἐστι πνεῦμα. πρὸς δὲ τὴν τοιαύτην συκοφαντίαν πρόχειρος ἡ ἐκ τῆς ἀρνήσεώς ἐστιν ἀπολογία. εἰ γὰρ τὸ πνεῦμα νοῦν ὁ Ἀπολινάριος οἴεται, οὐδεὶς τῶν Χριστιανῶν λέγει τὸν ἀνακραθέντα τῷ θεῷ ἄνθρωπον ἥμισυν εἶναι, ἀλλ' ὅλον προσφυῆναι τῇ θείᾳ δυνάμει. πᾶσιν οὖν ἂν ἐθέλοι τις τὰ μέρη τοῦ ἀνθρώπου προσαγορεύειν ὀνόμασιν, εἴτε νοῦν εἴτε πνεῦμα εἴτε καρδίαν· λέγεται γὰρ παρὰ τῆς γραφῆς ἐπὶ τοῦ ἡγεμονικοῦ τὰ τρία· τὸ Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός· καὶ Ὁ νοήμων κυβέρνησιν κτήσεται· καὶ Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ. οὔτε οὖν ἄπνους οὔτε ἄνους οὔτε ἀκάρδιος τῇ ἐπισκιάσει τῆς τοῦ ὑψίστου δυνάμεως καὶ τῇ ἐπελεύσει τοῦ ἁγίου πνεύματος. οὐκοῦν οὐ πρὸς ἡμᾶς ἂν βλέποι ἡ λοιδορία ὡς τὸν ἄνθρωπον ἐκεῖνον οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ πνεῦμα,

7 Joh 4, 6 8 Num 20, 11 9 Joh 4, 7 10 Exod 16, 35 11 Matth 21, 19 25 Ps 51, 12 26 Prov 1, 5 27 I Cor 2, 11

VG VᶜF v l 9 ποιεῖν F 23 οὖν G v: οἷς V (Vᶜ) F ἐθέλοι correxi: ἐθέλῃ libri v 28 ἁπλοῦς VG 29 τῇ om VG v

ὅ ἐστιν ὁ νοῦς, γεγενῆσθαι λέγοντας, ἀλλὰ πρὸς αὐτὸν ἐκεῖνον τὸν τῆς λοιδορίας ἐργάτην τὸν τοῖς ἰδίοις ὀνείδεσιν ἡμᾶς βάλλοντα. ὁ γὰρ πνεῦμα τὸν νοῦν ὀνομάζων, μὴ ἔχειν δὲ νοῦν τὸν κατὰ Χριστὸν ἄνθρωπον λέγων ἐκεῖνός ἐστιν ὁ μὴ ἔχειν πνεῦμα κατασκευάζων τὸν κύριον. ἀλλὰ τί τὸ ἐπαγόμενον ἔγκλημα; φησὶν ἐκεῖνος ἀδικεῖν ἡμᾶς τοῦτο λέγοντας, ὅτι ὑπὲρ τὴν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος ἔσχε τι μεῖζον ἕτερον, τὴν ἐν αὐτῷ κατοικοῦσαν θεότητα. εἰ δὲ τοῦτο ἐν ἐγκλήμασι τίθεται, οὐ φεύγομεν τὴν κατηγορίαν τῷ ἀποστόλῳ συνεκβαλλόμενοι. παρ' αὐτοῦ γὰρ τὸ τοιοῦτον μαθόντες πιστεύομεν, ὅτι θεοῦ μορφὴ κατὰ τὸ νοούμενον ὑπάρχων ἐν δούλου μορφῇ κατὰ τὸ φαινόμενον γίνεται. εἰ δὲ προτιμοτέρα ἡ θεία μορφὴ τοῦ δουλικοῦ προσώπου, οὐχ ὁμότιμον πάντως τῷ κρυπτῷ τὸ φαινόμενον. οὐκοῦν τὸ κατὰ σάρκα βλεπόμενον καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενον εἶχέ τι ἐν ἑαυτῷ ἑαυτοῦ τιμιώτερον, ὅπερ ὁ λογογράφος ἔγκλημα ποιεῖται κατὰ τῆς πίστεως. ἀλλὰ καὶ ἐν αὐτῷ φησιν ὁ ἀπόστολος κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· ὁ δὲ ἐν αὐτῷ εἰπὼν οὐ τὸ ἥμισυ τοῦ δηλουμένου ἐσήμανεν, ἀλλ' ὅλον τὸ ὑποκείμενον τῇ σημασίᾳ συμπεριέλαβεν. εἰ οὖν ἀνθρώπινον σῶμα, ἐν ᾧ κατῴκησεν ἡ θεότης, σῶμα δὲ οὐκ ἄψυχον, ἴδιον δὲ τῆς ἀνθρωπίνης
1184 M. ψυχῆς τὸ νοερόν ἐστι μέρος — εἰ γὰρ τοῦτο χωρισθείη, καθὼς πολλάκις εἰρήκαμεν, κτηνῶδές ἐστι τὸ λειπόμενον — ἆρ' οὐχ ἡμῶν ὁ γεννάδας, ἀλλὰ τοῦ ἀποστόλου ταῖς λοιδορίαις καθάπτεται· μᾶλλον δὲ καὶ τῆς μεγάλης τοῦ Ἰωάννου φωνῆς, ᾗ φησιν ὅτι Ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. οὐ γὰρ ἐν μέρει ἡμῶν, ἀλλὰ πάντα τὰ ἐν τῇ φύσει νοούμενα τῇ πληθυντικῇ φωνῇ συνεσήμανε καὶ τὸν λόγον τῆς σαρκὸς πρότερον μὲν προδιέστειλεν, εἶθ' οὕτως εἰς ἕνωσιν

11 Phil 2, 6 18 Col 2, 9 27 Joh 1, 14

VG V^{c}F v l 7 ἑαυτοῦ V^{c}F l: αὐτοῦ VG v 8 αὐτῷ V: ἀνθρώπῳ cet v 10 τῷ τοιούτῳ VG 11 μορφὴν F 12 verba ὑπάρχων — φαινόμενον om VG 24 λειπόμενον corr Jaeger: λεγόμενον libri v (cf 213,5-6) 29 ἐσήμανε: η sscr V^{c}G 30 προέστειλεν F

ἤγαγεν. ἦν γὰρ ἐφ' ἑαυτοῦ ὁ λόγος καὶ πρὸς τὸν θεὸν ἦν. καὶ ὅπερ ὁ θεὸς ἦν, τοῦτο καὶ ὁ λόγος ἦν· θεὸς γὰρ καὶ οὗτος ἦν. ἀλλ' ὅτε εἰς τὰ ἴδια ἦλθε καὶ ἐν τῇ σκοτίᾳ ἔλαμψε, τότε ὁ λόγος σὰρξ ἐγένετο, τῇ ἑαυτοῦ δυνάμει ἐν τῇ παρθένῳ σὰρξ γενόμενος. οὐκοῦν φειδέσθω τῆς καθ' ἡμᾶς λοιδορίας, ὡς ἂν μὴ συμπεριλάβοι τοὺς ἁγίους διὰ τῆς ὕβρεως.

Τὰ δὲ διὰ μέσου παρείς, δι' ὧν ἀρνήσασθαι τὰ κατὰ τὸ μυστήριον οἴεται τοὺς μὴ τὰ αὐτὰ φρονοῦντας αὐτῷ, ἑνὸς τῶν ἐν τῇ καταφορᾷ πρὸς διαβολὴν ἡμετέραν εἰρημένων ἐπιμνησθήσομαι. φησὶ γὰρ ἡμᾶς, εἰ μὴ ἐκεῖνο λέγομεν, μήτε προϋπάρχειν τῆς ἐν γῇ γεννήσεως μήτε πρὸ πάντων εἶναι λέγειν μήτε σύμφυλον εἶναι θεοῦ. ἀλλὰ τὸ μὲν προϋπάρχειν αὐτὸν τῆς γηΐνης αὐτοῦ γεννήσεως ὁμολογοῦμεν, εἴπερ ἐκ τῆς γηΐνης συστάσεως ἡ σὰρξ εἶναι οὐκ ἀμφιβάλλεται· τὸ δὲ σύμφυλον εἶναι θεοῦ, ἄπαγε, μηδεὶς οὕτως ἐν Χριστιανοῖς ταπεινά τε καὶ ἔκφυλα τῆς θείας μεγαλοπρεπείας ὀνοματοποιήσειε ῥήματα, ὥστε τὸν ὄντως ὄντα θεὸν σύμφυλον θεοῦ καὶ μὴ ἀληθινὸν ἀνακηρύσσειν θεόν. οὐδ' ἂν ὁ Εὐνόμιος τῆς τοιαύτης που φείσαιτο ἐπὶ κυρίου φωνῆς. εἴποι γὰρ ἂν καὶ ἐκεῖνος μὴ παραδεχόμενος αὐτοῦ τὸ ἀληθινὸν τῆς θεότητος, τὸ σύμφυλον αὐτὸν εἶναι θεοῦ, καθὸ καὶ σύσσωμοι τοῦ Χριστοῦ καὶ συμμέτοχοι οἱ τὴν εἰς αὐτὸν πίστιν παραδεξάμενοι γίνονται, οὐκ ἐκεῖνο ὄντες, ὅπερ ἐστὶν ὁ κύριος, ἀλλ' ἐκείνου μετέχοντες καὶ τῷ μετεχομένῳ συνονομαζόμενοι· ὥστε ὁ ταῦτα αἰτιώμενος μὴ λέγειν ἡμᾶς, ὅσα παρὰ τῶν εὐσεβούντων ὁμολογεῖται, τὸ εὐσεβές τε καὶ ἀνεπίληπτον τῷ καθ' ἡμᾶς λόγῳ προσεμαρτύρησεν. εἶτα εἰς κατασκευὴν τοῦ εἶναι τὴν σάρκα θεότητα καὶ ταῦτα τοῖς εἰρημένοις προστίθησιν. Τίς γάρ, φησίν, ὁ ἅγιος ἐκ γεννητῆς; ὥσπερ οὐκ ἀνεγνωκὼς τὴν κατὰ τὸν Ἱερεμίαν γραφήν, περὶ οὗ φησιν

1 Joh 1, 1   2 Joh 1, 11   3 Joh 1, 5   22 Eph 3, 6   31 Jer 1, 5

VG V^c^F v l 2 ὁ ante θεὸς om VG   verba τοῦτο — ἦν om VG   13 γεννήσεως VG v l: γενέσεως V^c^F   19 που correxi: σου VG F v, οὐ in marg V^c^F   24 ὁ om V, add V^c^

ὅτι Πρὶν ἐμὲ πλάσαι σε ἐκ κοιλίας ἡγίακά σε. οὐ γὰρ μόνον ἐκ γεννητῆς, ἀλλὰ καὶ πρὸ γενέσεως ἐκεῖνος 1185 M. παρὰ τῆς γραφῆς μαρτυρεῖται ἅγιος. ἀλλὰ καὶ ὁ ἐν τῇ γαστρὶ τῇ μητρῴᾳ σκιρτήσας, ὁ τοῦ ἀσπασμοῦ τῆς μητρὸς τοῦ κυρίου τὴν φωνὴν ἐν ἀγαλλιάσει δεξάμενος, καὶ αὐτὸς ἂν εἴη ἐκ γεννητῆς ἅγιος, καθὼς ἡ τοῦ ἀγγέλου περὶ αὐτοῦ μηνύει φωνὴ λέγουσα· Καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρός. ἀλλ' ἐπάγει καὶ τοῦτο τοῖς εἰρημένοις· Τίς ἀδίδακτος σοφός; ἡμεῖς δὲ τὴν ἐκ τοῦ θεοῦ σοφίαν, ἥτις ἐστὶν ὁ Χριστός, οὐχὶ διδακτὴν εἶναί φαμεν· τὴν δὲ ἑνωθεῖσαν τῇ θείᾳ σοφίᾳ τῆς σαρκὸς ἡμῶν μοῖραν ἐκ μετοχῆς δέξασθαι τὸ ἀγαθὸν τῆς σοφίας οὐκ ἀμφιβάλλομεν, πειθόμενοι τῷ εὐαγγελίῳ οὑτωσὶ διεξιόντι ὅτι Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι. ὥσπερ ἐν τῷ σώματι ἡ κατ' ὀλίγον προσθήκη τῇ τῆς τροφῆς συνεργίᾳ πρὸς τὸ τέλειον τῆς φύσεως πρόεισιν, οὕτως καὶ ἐν τῇ ψυχῇ ἡ ἐπὶ τὸ τέλειον τῆς σοφίας πρόοδος δι' ἀσκήσεως τοῖς μετιοῦσι προστίθεται. Τίς, φησίν, ἐν ἐξιουσίᾳ τὰ τοῦ θεοῦ ἐργαζόμενος; πῶς κατασμικρύνει τοῖς βρεφικοῖς ἐπιχειρήμασι τὴν ἄφραστον τοῦ κυρίου μεγαλειότητα; τὸ γὰρ ἐν ἐξουσίᾳ τὰ τοῦ θεοῦ ποιεῖν καὶ ἀνθρώπων ἐστὶ τῶν ἠξιωμένων θείας δυνάμεως, οἷος ἦν ὁ Ἠλίας κατ' ἐξουσίαν ἀνιείς τε καὶ ἀποκλείων τοῖς ἀνθρώποις τὸν ὄμβρον πῦρ ἐπάγων τοῖς ὑπεναντίοις, γεωργῶν ἐν τῷ κεράμῳ τὸ ἄλευρον καὶ βρύειν ποιῶν ἐν τῷ καμψάκῃ τὸ ἔλαιον καὶ διὰ προσφυσήματος τῷ ἀψύχῳ ζωὴν χαριζόμενος καὶ ὅσα ἄλλα περὶ αὐτοῦ ὁ λόγος κατέχει, ὥστε οὐδὲν ὑπὲρ ἄνθρωπον τὸ ἐν ἐξουσίᾳ τοῦ θεοῦ ποιεῖν τι τῶν θαυμάτων ἐκ θείας δυνάμεως, ἀλλὰ τὸ αὐτὸν εἶναι τὴν ὑπερέχουσαν δύναμιν. ὅπερ δὴ καὶ παρ' ἡμῶν καὶ παρὰ πάντων τῶν ἐν ἀληθείᾳ δεξαμένων τὸν λόγον πεπίστευται.

4 Luc 1, 41 7 Luc 1, 15 13 Luc 2, 52 22 III Reg 17, 14 IV Reg 1, 10

VG VcF v l 1 in marg ἢ μὲ VcF 2 μόνος F 15 τῇ om VG v τῆς om v 19 κατασμικρύνει G v l: κατασμικροίνει ceteri 21 τῶν om V 25 καμψάκῃ: καμψάκει V, supra η G

Τὴν δὲ ἀδιανοήτως αὐτοῦ προστεθεῖσαν τοῖς εἰρημένοις διαίρεσιν ὡς οὐ πρέπον ἡμῖν ὂν τὸ κατὰ σπουδὴν διελέγχειν ταῖς ἐννοίαις τῶν ἐπιστημόνων παρήσομεν. τί γὰρ βούλεται αὐτῷ τὸ Διαιρῶν μὲν τὴν ἐνέργειαν κατὰ σάρκα, ἐξισῶν δὲ κατὰ πνεῦμα, ὅπερ ἐπήγαγε τῇ εὐαγγελικῇ φωνῇ τῇ λεγούσῃ ὅτι Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγὼ ἐργάζομαι; εἴ τις ἔχει δύναμιν πρὸς τὴν τῶν ἀνοήτων συνηγορίαν, συνιστάσθω τῷ λόγῳ καὶ λεγέτω, τί νοῶν ἐπάγει τοῖς εἰρημένοις πάλιν τὸ ὅμοιον οὑτωσὶ κατὰ τὴν λέξιν ἔχον· Ὅπερ ἔχει, φησί, τὴν ἐν δυνάμει πάλιν ἰσότητα καὶ τὴν κατὰ σάρκα τῆς ἐνεργείας διαίρεσιν, καθ' ἥν, φησίν, οὐ πάντας ἐζωοποίησεν, ἀλλά τινας, οὓς ἠθέλησεν. ἡμεῖς γὰρ τὴν ἁπλῆν τε καὶ ἀκατάσκευον ἐξειληφότες τῆς θείας γραφῆς διάνοιαν
1188 M. οὕτω περὶ τῶν εἰρημένων γινώσκομεν· ὅταν τοῦ κυρίου διεξιόντος ἀκούσωμεν ὅτι Ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ καὶ Ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ, οὐχ ὥς τινων ἀποβαλλομένων τοῦ ζωοποιοῦ θελήματος ἐκ τούτου νοοῦμεν. ἀλλ' ἐπειδὴ πάντα τὰ τοῦ πατρὸς τοῦ υἱοῦ εἶναι καὶ ἠκούσαμεν καὶ πιστεύομεν, δῆλον ὅτι καὶ τὸ θέλημα τοῦ πατρὸς ὡς ἓν τῶν πάντων ἐν τῷ υἱῷ καθορῶμεν. εἰ οὖν ἐν τῷ υἱῷ τὸ πατρικόν ἐστι θέλημα, ὁ δὲ πατήρ, καθώς φησιν ὁ ἀπόστολος, Πάντας θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, δηλαδὴ ὁ πάντα τὰ τοῦ πατρὸς κεκτημένος καὶ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν πατέρα ὅλον ἔχει πάντως ἐν ἑαυτῷ μετὰ τῶν ἄλλων τῶν τοῦ πατρὸς ἀγαθῶν καὶ τὸ σωτήριον θέλημα. εἰ οὖν οὐκ ἀπολείπεται τοῦ τελείου θελήματος, πάντως δῆλον ὅτι οὓς ὁ πατὴρ θέλει ζωοποιηθῆναι καὶ αὐτὸς ζωοποιεῖ, οὐκ ἐλαττούμενος ἐν τῷ φιλανθρώπῳ θελήματι, καθώς φησιν ὁ Ἀπολινάριος, ὅτι τινὰς ἠθέλησεν, οὐ πάντας

6 Joh 5, 17 16-17 Joh 5, 21 23 I Tim 2, 4

VG V^cF v l 1 διανοήτως F 9 κατὰ in annotatione v l Zacagni: καὶ libri v 13 ἡμεῖς v, supra V^c, in marg G: οἶμαι ceteri 15 περὶ corr v: παρὰ libri 21 εἰ: τί VG 30 πάντως F

ζωοποιηθῆναι. οὐ γὰρ παρὰ τὴν τοῦ κυριακοῦ θελήματος αἰτίαν οἱ μὲν σῴζονται οἱ δὲ ἀπόλλυνται (ἦ οὕτω γ᾽ ἂν εἰς ἐκεῖνον ἐπανίοι ἡ τῶν ἀπολλυμένων αἰτία), ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν δεχομένων τὸν λόγον, συμβαίνει τὸ σῴζεσθαί τινας ἢ ἀπόλλυσθαι. ὁ δὲ προστίθησι ταῖς κατασκευαῖς ὅτι Οὐδεὶς κατ᾽ ἐξουσίαν ἀπέθανε καὶ ἀνέστη. καὶ τοῦτο εἰπὼν ἐπάγει τὴν τοῦ εὐαγγελίου φωνήν, τὸ Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ᾽ ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ποίαν ψυχήν, λογικὴν ἢ ἄλογον; εἴποιμι ἂν πρὸς τοὺς τὴν ἀνόητον ψυχὴν τῷ θεῷ συνορίζοντας. εἰ ἄλογόν φασι, κτῆνος ἐροῦσιν εἶναι περὶ τὸν Χριστὸν καὶ οὐκ ἄνθρωπον· εἰ δὲ λογικήν, τί ἄλλο παρὰ τὸν λόγον τὴν διάνοιαν οἴονται; οὐ γὰρ φωνὴ ἄσημος ὁ λόγος ἐστίν, ἀλλὰ νοήματος κίνησις ἀρχὴ καὶ ὑπόθεσις τοῦ λόγου γίνεται. οὐκοῦν ὁ λογικὴν ψυχὴν εἰπὼν καὶ διανοητικὴν ὡμολόγησεν· εἰ δὲ διάνοια νοῦ κίνησίς ἐστι καὶ ἐνέργεια, πῶς ἂν ὁ νοῦς μὴ παρὼν ἐνεργήσειεν, εἴπερ ἀμέτοχον τοῦ νοῦ τὴν τοῦ κυρίου ψυχὴν διορίζοιτο; ὥστε εἰ ψυχὴν ἔχει ὁ κύριος, ἣν κατ᾽ ἐξουσίαν καὶ λαμβάνει καὶ ἀποτίθεται, ψυχὴν δὲ οὐ κτηνώδη καὶ ἄλογον, ἀλλὰ τοῦ ἀνθρωπίνου συγκρίματος, ὁμολογεῖται πάντως ἐν τῷ ἀνθρωπίνην προσειληφέναι καὶ διανοητικὴν εἶναι.

1189 M. Ταῦτα εἰπὼν ὅσα περὶ τοῦ κόκκου φησὶ τοῦ ἀποθνήσκοντος καὶ οὕτω μετὰ πλεόνων κόκκων ἀναβλαστάνοντος, ἐπειδὴ πρὸς ἡμῶν ἐστι καὶ τὸν ἡμέτερον βεβαιοῖ λόγον, ἑκὼν ὑπερβήσομαι. τίς γὰρ ὁ ἀποθνήσκων κόκκος καὶ τῷ ἰδίῳ τῆς ἀναστάσεως στάχυϊ σωρείαν κόκκων ἐν ἑαυτῷ συνεγείρων; οὐκ οἶμαί τινα τοσοῦτον τῶν θείων δογμάτων εἶναι ἀμύητον, ὡς μὴ περὶ τὸν ἄνθρωπον τὸ κατὰ τὸ πάθος βλέπειν μυστήριον. ἀπόδειξις δὲ τοῦ λόγου τὸ καὶ ἡμᾶς

8 Joh 10, 18 23 Joh 12, 24

VG VᶜF v l 1 ζωοποιηθῆναι: ησαι supra Vᶜ, in marg F 3 ἐκεῖνον (i e θεὸν) VG: ἐκεῖνο VᶜF v 6 καὶ ante ἀνέστη: ἢ V 8 ante ἐξουσίαν add καὶ VᶜF (cf Joh 10, 18) 9 ψυχήν G v: ψυχικήν ceteri 10 εἴποιμι ἂν VᶜF v: εἴ πως μίαν VG 11 συνορίζονται G φησι F 16 εἰ Jaeger: ἡ libri v 24 πλειόνων libri v, correxi 29 τὸ alt om VG 30 βλέπει VG τῷ V

συναποθνήσκειν αὐτῷ καὶ συνθάπτεσθαι καὶ συνεγείρεσθαι. πρὸς γὰρ τὸ ὁμογενὲς ῥᾳδία γίνεται τοῖς βουλομένοις ἡ μίμησις, τοῦ δὲ ὑπερβεβηκότος ἡ ὁμοίωσις ἄπορος· ὥστε εἰ μὲν σάρξ ἐστιν ἡ ὑποστᾶσα τὸν θάνατον, καὶ ἡμᾶς τοὺς ἐν σαρκὶ ζῶντας εὐκολώτερον ἂν εἴη μιμήσασθαι τῷ θανάτῳ τὸν θάνατον· εἰ δὲ θεότης τέθνηκε, πῶς συντεθνηξόμεθα οἱ ἐν σαρκὶ τῇ θεότητι; σαρκὶ σὰρξ συναποθνήσκει καὶ συνεγείρεται· θεότητος δὲ τοῦτο παθούσης, καθὼς Ἀπολινάριος βούλεται, ἄλλας θεότητας ἐπιζητεῖν προσήκει, αἳ συντεθνήξονται καὶ συναναστήσονται τῇ θεότητι· ὥσπερ γὰρ Χριστὸς ἀπέθανε καὶ ἀνέστη, οὕτως καὶ ἡμεῖς, φησὶν ὁ ἀπόστολος. τί ὄντες ἡμεῖς κατὰ τὴν ἑαυτῶν φύσιν; θεία δύναμις ἢ αἷμα καὶ σάρξ, καθώς φησιν ἡ γραφή; διὸ κεκοινώνηκεν ἡμῖν ἡμῶν ἕνεκεν σαρκὸς καὶ αἵματος ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γενόμενος. οὐκοῦν ὅπερ ἡμεῖς ἐσμεν κατ' οὐσίαν, καὶ ὁ ὑπὲρ ἡμῶν ἀποθανὼν ἦν, οὗ πρόκειται τοῖς ὁμογενέσιν ἡ μίμησις. ἀπόδειξις δὲ τῆς ἀσεβείας τοῦ λόγου τοῦ θνητὴν ἀποδεικνύντος τὴν θεότητα αὐτὸ τὸ ἐν ἡμῖν αὐτοῖς γινόμενον. ἐν γὰρ τῷ κοινῷ τῶν ἀνθρώπων θανάτῳ τί τὸ ἀποθνῆσκόν ἐστι καὶ φθειρόμενον; οὐχὶ σὰρξ μὲν εἰς τὴν γῆν ἀναλύεται, ὁ δὲ νοῦς τῇ ψυχῇ παραμένει οὐδ' ἐν τῇ μεταστάσει τοῦ σώματος πρὸς τὸ εἶναι βλαπτόμενος; τεκμήριον δὲ ὅτι μέμνηται τῶν ὑπὲρ γῆς ὁ πλούσιος καὶ δεῖται τοῦ Ἀβραὰμ περὶ τῶν κατὰ τὸ γένος συνημμένων αὐτῷ. τοῦτο δὲ οὐκ ἄν τις ἀνοίας εἴποι, τὸ ἐπειδὴ τὸ καθ' ἑαυτὸν ἄφυκτον ἔγνω, πρόνοιάν τινα τῶν ἐπιτηδείων ποιήσασθαι. εἰ τοίνυν ὁ ἡμέτερος νοῦς διαμένει καὶ μετὰ θάνατον ἀπαθής τε καὶ ἀναλλοίωτος, πῶς εἰκὸς τὸν τριτημόριον ἐκεῖνον τοῦ Ἀπολιναρίου θεὸν τὸν σαρκώδη θάνατον ὑπομεῖναι; πῶς ἀποθανόντα ἢ τίνα τρόπον παθόντα τὴν τοῦ

10 I Thess 4, 14 (I Cor 15) 23 Luc 16, 24

VG VᶜF v l 2 τῇ ἐνεργείᾳ in marg add VG 13 ἐπιγραφή VG 20 περὶ ψυχῆς in marg libri 24 τὸ om VG 30 αὐτὸν ante ὑπομεῖναι add VᶜF verba ἢ — παθόντα om VG

θανάτου διάλυσιν; οὐδενὶ γὰρ τῶν πάντων τὸ τοιοῦτον ἄγνωστον, ὅτι θάνατός ἐστι ψυχῆς καὶ σώματος ἡ ἀπ᾽ ἀλλήλων διάζευξις, αὐτὴ δὲ ἡ ψυχὴ καὶ ἡ διάνοια πῶς ἀφ᾽ ἑαυτῆς μερίζεται, ἵνα καὶ ἐν ἑαυτῇ τὸν θάνατον δέξηται; εἰ οὖν ἀνεπίδεκτος ἡ ἡμετέρα ψυχὴ τοῦ θανάτου, πῶς δέχεται θάνατον, εἰπάτωσαν οἱ εἰς μοῖραν τὸν Χριστὸν κερματίζοντες.

1192 M. Ἀλλὰ ταράσσονται, φησί, τὴν τῶν ἀπίστων ταραχήν. καθ᾽ ἡμῶν χρῆται τῇ λοιδορίᾳ ταρασσομένους καὶ ἀπίστους ἀποκαλῶν τοὺς τῇ εὐαγγελικῇ φωνῇ ἀνεξετάστως προσέχοντας, ἥ φησιν Εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ· πλὴν μὴ τὸ ἐμόν, ἀλλὰ τὸ σὸν γενέσθω θέλημα. τούτοις δὲ προστίθησι τὴν ἰδίαν λέξιν ἔχουσαν οὕτως. Καὶ οὐ μνημονεύουσι, φησίν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ τοῦ θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. τί ἂν ἐξεύροι τις τοιοῦτον εἰπεῖν; οὐ λέγω τούτων τινὰ τῶν ἐπὶ αἱρέσει κατεγνωσμένων· ἀλλ᾽ οὐδ᾽ αὐτὸν οἶμαι τὸν ἀσεβείας τε καὶ τοῦ ψεύδους πατέρα εὑρεῖν τι τῶν εἰρημένων εἰς βλασφημίαν δεινότερον. ἆρα οἶδεν ὁ λογογράφος ἃ φθέγγεται; ὁ θεὸς ἐξ οὐρανοῦ καταβὰς τὸ ἴδιον τῆς θεότητος θέλημα παραγράφεται καὶ οὐ βούλεται εἰς ἔργον ἐλθεῖν, ὅπερ βούλεται. οὐκοῦν μεμέρισται τοῦ υἱοῦ καὶ τοῦ πατρὸς τὰ θελήματα. καὶ πῶς ἂν εἴη κοινὸν ἐπ᾽ ἀμφοτέρων τὸ θέλημα; πῶς δ᾽ ἂν ἡ τῆς φύσεως ταυτότης τῇ διαφορᾷ τῶν θελημάτων ἐμφαίνοιτο; ἀνάγκη γὰρ πᾶσα σύνδρομον εἶναι τῇ φύσει τὴν βούλησιν, καθώς φησί που ὁ κύριος· Οὐ δύναται δένδρον καλὸν καρποὺς πονηροὺς ποιεῖν οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιεῖν· καρπὸς δ᾽ ἂν εἴη φύσεως ἡ προαίρεσις, ὥστε ἀγαθῆς μὲν ἀγαθὴν εἶναι, κακῆς δὲ τοιαύτην. εἰ οὖν διάφορος ἐπὶ πατρὸς καὶ υἱοῦ ὁ

11 Matth 26, 39 Luc 22, 42 28 Matth 7, 18

VG V^c F v l 1 τῶν: τῷ G τὸ corr ex τῷ G τοιοῦτο G 4 ἐν ἑαυτῇ G: αὐτὴ V v, ἐν αὐτῇ V^c F 13 προτίθησι G 30 ἀγαθὴν G v: ἀγαθὸν V F 31 ante καὶ add τε G V^c F

καρπὸς τοῦ θελήματος, διάφορον ἐξ ἀνάγκης εἶναι καὶ τὴν ἑκατέρων φύσιν ὁμολογήσουσιν. τί οὖν πολεμεῖται ὁ Ἄρειος; τί δὲ οὐκ αὐτομολοῦσι πρὸς τὸν Εὐνόμιον, ὃς διαιρῶν τοῦ πατρός τε καὶ τοῦ υἱοῦ τὴν φύσιν συνδιατέμνει τῇ φύσει τὴν βούλησιν καὶ διὰ τοῦτο μάλιστα κατασκευάζει τὸ τῆς οὐσίας ἀλλότριον, τῷ ὑποβεβηκότι πρὸς τὸ προέχον συνδιασχίζων τὸν τῆς θεότητος λόγον;

Πάλιν δὲ τὸ παρ᾽ αὐτοῦ ῥηθὲν ἀναλάβωμεν. Οὐ μνημονεύουσι, φησίν, ὅτι τὸ θέλημα τοῦτο ἴδιον εἴρηται, οὐκ ἀνθρώπου τοῦ ἐκ γῆς, καθὼς αὐτοὶ νομίζουσιν, ἀλλὰ θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. ποῖον θέλημα φησὶν ὁ λογογράφος; ὃ βούλεται δηλαδὴ μὴ γενέσθαι ὁ κύριος λέγων πρὸς τὸν πατέρα Μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν γενέσθω. ἆρα συνίησιν, οἵᾳ περιπέπτωκεν αὐτῷ ὁ λόγος ἐναντιότητι; ἐγγίζει τὸ πάθος καὶ ὅσον οὔπω μέλλει ὁ προδότης ἐφίστασθαι μετὰ τοῦ πλήθους
1193 M. καὶ τότε γίνεται ἡ τοιαύτη εὐχή. ὁ εὐχόμενος ἄνθρωπος ἢ θεός, εἰ θεὸν εἶναι τὸν εὐχόμενον οἴεται, ἴσην αὐτῷ πρὸς τοὺς ἀνθρώπους ἐνορᾷ τὴν ἀσθένειαν. πῶς οὖν θεὸς ὁ μηδὲν οἴκοθεν ἀγαθὸν ἔχων, ἀλλὰ τῆς ὑπερκειμένης συμμαχίας δεόμενος; εἶτα καὶ πῶς καταγινώσκει ἡ θεότης τοῦ ἰδίου θελήματος; ἀγαθὸν ἦν ἢ κακόν, ὃ ἠβούλετο; εἰ μὲν γὰρ ἀγαθόν, διὰ τί οὐκ εἰς πέρας ἄγεται ὃ ἠβούλετο; εἰ δὲ κακόν, τίς πρὸς τὸ κακὸν τῇ θεότητι ἡ οἰκείωσις; ἀλλ᾽ ὅπερ ἔφην, ὅτι οὐ συνίησιν εἰς τὸ ἐναντίον περιτρέπων τὸν λόγον. εἰ γὰρ τοῦ μονογενοῦς ἐστι θεοῦ ἡ φωνὴ ἡ λέγουσα Μὴ τὸ ἐμὸν θέλημα γινέσθω, ἀλλὰ τὸ σόν, αὐτὸς ὁ λόγος περὶ ἑαυτὸν ἀεὶ διά τινος ἐναντιότητος στρέφεται καὶ οὐδαμοῦ τὸ στά-

VG VᶜF v l 2 ὁμολογοῦσιν VG 4 συντέμνει V v 8 περὶ τοῦ θελήματος in marg libri 12 τὰ περὶ θελήματος iterum in marg libri 16 οὔπω VG v: δὲ supra Vᶜ, οὐδέπω F 18 εἰ VG v: ἢ VᶜF 18 ante ἴσην add ἢ VᶜF 19 ὁ om V v 22 et 23 ἐβούλετο VᶜF 24 verba τίς — κακὸν om VG 27 γενέσθω v ἑαυτὸν Vᶜ v: ἑαυτοῦ VG F 28 ἐναντιότητος om VG στρέφεται G v: γράφεται, in marg γρ καὶ στρέφεται ceteri

σιμον ἔχει. ὁ γὰρ μὴ βουλόμενος τὸ ἴδιον θέλημα γενέσθαι, αὐτὸ τοῦτο βούλεται πάντως, τὸ μὴ γενέσθαι ὃ βούλεται. πῶς οὖν ἡ εὐχὴ πρὸς πέρας ἀχθήσεται λέγοντος, ὅτι τοῦτο θέλω, ἵνα ὃ θέλω μὴ γένηται; πρὸς τοὐναντίον πάντως τοῦ σπουδαζομένου περιτραπήσεται καὶ ἀμηχανήσει καθ' ἑκάτερον ὁ τῆς τοιαύτης ἐπαΐων εὐχῆς. ὅπερ γὰρ ἂν ποιήσῃ, πρὸς τὸ ἀβούλητον τῷ εὐχομένῳ περιτρέπει τὴν ἔκβασιν. ποιήσει τὸ θέλημα τοῦ εὐχομένου; ἀλλ' ἡ εὐχή ἐστι τὸ μὴ γενέσθαι ἃ βούλεται. μὴ ποιήσῃ ὃ βούλεται; ἀλλ' ὁ εὐχόμενος βούλεται γενέσθαι αὐτῷ, ὃ μὴ βούλεται· ὥστε κατὰ πάντα τρόπον πάντῃ μεταλαμβανόμενον ἀστατήσει τὸ νόημα αὐτὸ ἑαυτῷ μαχόμενον καὶ ὑφ' ἑαυτοῦ καθαιρούμενον. τῆς δὲ τοιαύτης κατὰ τὸν λόγον ἀμηχανίας μία γένοιτο ἂν παραμυθία, ἡ ἀληθὴς τοῦ μυστηρίου ὁμολογία, ὅτι τὸ μὲν δειλιᾶν πρὸς τὸ πάθος τῆς ἀνθρωπίνης ἀσθενείας ἐστί, καθώς φησι καὶ ὁ κύριος τὸ πνεῦμα πρόθυμον εἶναι λέγων, ἀσθενῆ δὲ τὴν σάρκα· τὸ δὲ ἀνέχεσθαι τὸ ἐξ οἰκονομίας πάθος τῆς θείας ἐστι καὶ βουλῆς καὶ δυνάμεως. ἐπειδὴ τοίνυν ἄλλο τὸ ἀνθρώπινον βούλημα καὶ τὸ θεῖον ἄλλο, φθέγγεται μὲν ὡς ἐκ τοῦ ἀνθρώπου τὸ τῇ ἀσθενείᾳ τῆς φύσεως πρόσφορον ὁ τὰ ἡμέτερα πάθη οἰκειωσάμενος· ἐπάγει δὲ τὴν δευτέραν φωνήν, τὸ ὑψηλόν τε καὶ θεοπρεπὲς βούλημα κυρωθῆναι παρὰ τὸ ἀνθρώπινον
1196 M. ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας θέλων. ὁ γὰρ εἰπὼν μὴ τὸ ἐμὸν τὸ ἀνθρώπινον τῷ λόγῳ ἐσήμανε· προσθεὶς δὲ τὸ σὸν ἔδειξε τὸ συναφὲς τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα θεότητος, ἧς οὐδεμία θελήματός ἐστι διαφορὰ διὰ τὴν κοινωνίαν τῆς φύσεως· τὸ γὰρ τοῦ πατρὸς εἰπὼν θέλημα καὶ τὸ τοῦ υἱοῦ ἐνεδείξατο. τοῦτο δέ ἐστι τὸ πάντας ἀνθρώπους θέλειν σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὅπερ οὐκ ἦν

16 Matth 26, 41 28 I Tim 2, 4

VG VᶜF v l 1 ὁ γὰρ μή: εἰ γὰρ V 2 βούλεται: γίνεται V 5 τὸ σπουδαζόμενον V 8 θέλημα: βούλημα V v (cf 19) 9 ποιήσει VG ἀλλὰ v 11 ἑαυτὸ F 12 δὴ v 19 βούλημα VG: θέλημα VᶜF 20 τῆς ἀσθενείας v 24 ante μή add ὅτι VᶜF ἐσήμανε: supra η VᶜF

ἄλλως γενέσθαι μὴ τοῦ θανάτου καταποθέντος τοῦ πρὸς τὴν ζωὴν ἐμποδίζοντος. τὰ δὲ ταπεινὰ τῆς ἀνθρωπίνης δειλίας καὶ ῥήματα καὶ πάθος οἰκειοῦται ὁ κύριος, δεικνὺς ὅτι ἀληθῶς ἦν περὶ αὐτὸν τὸ ἡμέτερον, ἐκ τῆς τῶν παθημάτων κοινωνίας τὴν φύσιν πιστούμενος.

Ἀλλ' οὐκ ἦν, φησὶν ὁ Ἀπολινάριος, ἀνθρώπου τοῦ ἐκ γῆς, ὥς αὐτοὶ νομίζουσιν, ἀλλὰ θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον. ἐν τούτοις δὲ τὸ μὲν ἄτονόν τε καὶ ἀσήμαντον τῆς ἑρμηνείας παράγει τῆς κατὰ τὸν νοῦν ἀκολουθίας τὸ τοῖς γεγραμμένοις ἑπόμενον, πλὴν οὐ παντελῶς ἀποκέκρυπται ἡ διάνοια τῇ συγχύσει τῆς λέξεως. οὐκ ἀνθρώπου, φησί, τοῦ ἐκ γῆς εἰσιν αἱ περιπαθεῖς ἐκεῖναι φωναί, ἀλλὰ θεοῦ τοῦ καταβάντος ἐξ οὐρανοῦ. μέχρι τούτου δῆλον ἐκ τῶν εἰρημένων τὸ βούλημα, ὅτι τὴν θεότητα ἐμπαθῆ εἶναι κατασκευάζει. εἶτα συγχεῖ τῇ ἀτοπίᾳ τῆς λέξεως τὴν διάνοιαν. εἰπὼν γὰρ ὅτι θεοῦ τοῦ καταβάντος ἐξ οὐρανῶν προστίθησι τὸ εἰς ἕνωσιν αὐτοῦ προσειλημμένον, ὡς ἄν τις ἐπὶ τὸ σαφέστερον μεταβαλὼν τὸν λόγον εἴποι, ὅτι οὐκ ἄνθρωπος ἦν ὁ λαλῶν, ἀλλὰ θεὸς διὰ τοῦ ἀνθρώπου ἐφθέγγετο ὁ εἰς τὴν ἑαυτοῦ ἕνωσιν προσλαβὼν τὸ φαινόμενον. πόθεν οὖν προσελήφθη ἐκεῖνος ὁ ἄνθρωπος; ἐκ γῆς; οὔ φησιν. ἐν οὐρανοῖς δὲ γένος ἀνθρώπων οὐκ ἔστι. λείπεται τὸ μηδαμόθεν λέγειν, ᾧ συγκατασκευάζεται τὸ δόκησιν τὸ φαινόμενον εἶναι καὶ οὐκ ἀλήθειαν· τὸ γὰρ μηδαμόθεν ὂν οὐδὲ ἔστιν ὅλως. ἀλλ' ἐξ ὧν παρέθετο λόγων, ἐξ οὐρανοῦ καταβεβηκέναι τὸν ἄνθρωπον λέγει. καὶ μὴν ἐπὶ γῆς ἡ Μαρία καὶ ἐν γῇ τὸ σπήλαιον καὶ γηΐνη ἡ φάτνη. καὶ πῶς ἡμῖν οὗτος οὐρανόθεν ἄνθρωπον ἐπὶ τὴν γῆν μετοικίζει; πάσης γὰρ ὁμολογούσης <τῆς> γραφῆς τὴν παρθένον, τὸν τόκον, τὴν σάρκα,

VG V^cF v l 1 τῷ θανάτῳ VG 4 ἀληθὲς VG v 10 τὸ VGF: τὸν V^c v 12 ante τῇ add ἐν V^cF 16 ἀτονίᾳ supra V^cF 19 μεταλαβὼν VG τὸν λόγον εἴποι Jaeger: εἴποι τὸν λ. libri v 22 προσελείφθη V 23 γένος ex γενόμενος corr et in marg iter G: γενόμενος ceteri v pro ἀνθρώπων legendum videbatur ἄνθρωπος Zacagnio 27 γῆν in marg F 28 αὐτὸς V G v 30 τῆς addidi

τὰ σπάργανα, τὴν θηλήν, τὴν φάτνην, τὴν ἀνθρωπίνην διασκευήν, οὗτος πάντα καταλιπὼν ἕτερον ἄνθρωπον ἄρριζον καὶ ἀσυναφῆ πρὸς τὴν ἡμετέραν φύσιν ἀναπλάσσει τῷ λόγῳ.

'Αλλ' ὅσας διὰ μέσου λοιδορίας τοῖς λόγοις συμπλέκων 1197 M. διὰ τούτων οἴεται κρατύνειν τὴν ἀτοπίαν τοῦ δόγματος, δι' ὧν ἂν σφοδρότερον ἡμῶν ταῖς βλασφημίαις καθικνῆται, παριδεῖν οἶμαι χρῆναι τόν γε νοῦν ἔχοντα καὶ τῇ ἀκοῇ τῶν ἐντυγχανόντων ἐπιτρέψαι τὴν κρίσιν, τίνες οἱ παραχαράκται τῆς ἀποστολικῆς εἰσι πίστεως, ἡμεῖς οἱ κατὰ τὴν τοῦ Παύλου φωνὴν γνόντες μὲν κατὰ σάρκα Χριστὸν νῦν δὲ οὐκ ἔτι γινώσκοντες ἢ ὁ πάντοτε καὶ πρὸ τῆς κατὰ ἄνθρωπον οἰκονομίας καὶ μετὰ τοῦτο τὸν σάρκινον ἑαυτοῦ θεὸν περιφέρων τῷ λόγῳ. προστίθησι δὲ τὴν παρὰ τῶν 'Ιουδαίων γεγενημένην κατ' αὐτοῦ βλασφημίαν, τὸ φάγον αὐτὸν λέγεσθαι παρ' ἐκείνων καὶ οἰνοπότην, καί φησιν ἀναγκαῖα εἶναι ταῦτα ἐπὶ τοῦ ἀνθρώπου. τίς οὖν ὁ ἄνθρωπος ὁ παρὰ τῶν 'Ιουδαίων ἐπὶ τῇ βρώσει τε καὶ τῇ πόσει ὀνειδιζόμενος, μετέχων τούτων ἢ ἀμέτοχος ὤν; ἀλλ' εἰ μὲν μὴ μετεῖχε, δόκησις ἦν· εἰ δὲ μετεῖχε, γήϊνον τὸ μετεχόμενον· τὸ δὲ οὐράνιον διὰ τῶν γηΐνων οὐ τρέφεται. ὢ τῆς τῶν ἀτόπων ἐναντιότητος! πῶς ἐν τῷ αὐτῷ τοῖς ἐναντίοις καταβάλλεται πτώμασιν! νῦν μὲν λέγει κρείττονα τῆς ἀνθρωπίνης φύσεως εἶναι τὸν σωματικῶς προφαινόμενον, πάλιν δὲ καὶ τῶν ἀνθρώπων καταδεέστερον δείκνυσιν, ἠκρωτηριασμένον τῷ κρείττονι. τῶν γὰρ ἐν ἡμῖν τὸ ὑπερέχον ἐστὶν ἡ διάνοια, ἧς ἄμοιρον εἶναι τὴν σάρκα λέγει, ἐν ᾗ ὁ θεὸς ἐφανερώθη· καὶ τοῦτο σαφῶς διὰ τῶν ἐφεξῆς ἀγώνων κατασκευάζων, ἐφ' ὧν εἰ μή τις περιττὸν ἡγοῖτο τὴν ἐπιμελῆ τῶν ματαίων ἐξέτασιν, δι' ὀλίγων τοῖς εἰρημένοις ἐπιδραμούμεθα. πάλιν γὰρ πλῆθος ὕβρεων ἐπαντλήσας τῇ συγγραφῇ τοιοῦτον καθ'

9 II Cor 5, 16 14 Matth 11, 19

VG V^c^F v l 2 ἄρριζον corr ex ἄριζον G v: ἄριζον ceteri 6 καθικνῆται corr ex καθικνεῖται G V^c^ l: καθικνεῖται V F v 13 προστιθεὶς V^c^F 17 τῇ ante βρώσει om v βρώσει corr ex βρώση G 21 πώματι F 22 τὸν V^c^F v: τὸ VG

ἡμῶν λόγον προτείνεται, ἀδικεῖν λέγων τοὺς ταὐτὸν εἶναι φάσκοντας σαρκὸς ἕνωσιν καὶ ἀνθρώπου πρόσληψιν. ἐγὼ δὲ κἂν ἀγροικότερον εἶναι δοκῇ τὸ λεγόμενον, οὐκ ἐπικρύψομαι τὴν ἀλήθειαν, ὅτι οὐθέτερον τῶν εἰρημένων ὁ καθ' ἡμᾶς ἰδιωτισμὸς δι' ἀκριβείας συνίστησιν. τί γὰρ διαφέρει σαρκὸς ἕνωσις καὶ ἀνθρώπου πρόσληψις, οὑτωσὶ κατὰ τὸ πρόχειρον ἑρμηνεύειν οὐκ εὔπορον, διότι πολλαχῶς νοεῖται ἡ ἕνωσις καὶ ἀριθμῷ καὶ εἴδει καὶ φύσει καὶ ἐπιτηδεύμασι καὶ μαθήμασι καὶ τοῖς κατὰ κακίαν ἢ ἀρετὴν ἰδιώμασι καὶ ἐπιτηδεύμασιν. τίς οὖν ἐστιν ἡ τῆς σαρκὸς ἕνωσις, εἴτε πρὸς ἑαυτὴν εἴτε πρὸς ἕτερον ἑνουμένης, τῶν ἑρμηνευόντων τὸν λόγον δεόμεθα. ἥ τε τοῦ ἀνθρώπου πρόσληψις πῶς γίνεται, ποίου καὶ πόθεν καὶ πῶς καὶ παρὰ τίνος καὶ τίνα τρόπον προσειλημμένου, ἐπίσης τῷ προλαβόντι ἡμῖν ἐν τοῖς ἀγνοουμένοις ἐστίν. ἕως γὰρ ἂν μὴ τῷ θείῳ τῆς γραφῆς ἅλατι τὸν περὶ τοῦ μυστηρίου λόγον τις ἐπαρτύων προφέρῃ, τὸ μεμωραμμένον τῆς ἔξω σοφίας ἅλας παρεῖσθαι παρὰ τῶν πιστῶν καταλείψομεν. τίς τῶν εὐαγγελιστῶν σαρκὸς ἕνωσιν διηγήσατο; ποῖον δὲ τῶν ἀποστολικῶν διηγημάτων τὴν τοῦ
1200 M. ἀνθρώπου πρόσληψιν οὑτωσὶ κατὰ τὴν λέξιν ἐδίδαξε; τίς νόμος, ποῖοι προφῆται, τίς θεόπνευστος λόγος, ποῖον συνόδου δόγμα τοιοῦτόν τι ἡμῖν παρακατέθετο; ἐκ τούτων τοίνυν τῶν δύο ῥημάτων τὸ μὲν ἡμῖν προσνέμει, τὸ δὲ ἴδιον εἶναι λέγει· πότερον δὲ τούτων ἑαυτοῦ ποιεῖται, μέχρι τοῦ νῦν ἀμφιβάλλομεν. ἡμεῖς γὰρ ἢ οὐθέτερον οἰκειούμεθα ἢ ἀμφότερα διὰ τὸ μηδεμίαν ἐν θατέρῳ πρὸς τὸ ἕτερον διαφορὰν ἐξευρίσκειν. ἥ τε γὰρ ἕνωσις πρός τι γίνεται ἥ τε πρόσληψις τινὸς πάντως ἐστίν· ἑκάτερον δὲ τὴν πρὸς ἕτερον σχέσιν ἀποσημαίνει καὶ ὁ προσλαβὼν ἥνωται τῷ προσληφθέντι καὶ τὸ ἑνωθὲν διὰ προσλήψεως ἥνωται.

VG V^{c}F v 1 1 λόγον: ὅλον G 2 πρόληψιν F 9 κακίαν ἢ V^{c}F κακὴ VG, κακὰ ἢ v 11 ἑνουμένη v 14 προσειλημμένος V ante ἡμῖν add καὶ τοῦτο V^{c}F 16 τις: ante λόγον coll GV^{c}F, om V v 17 ἅλα V^{c}F 18 καταλείψωμεν v 22 τι in marg G, om cet v ἡμῖν om VG 29 ὑποσημαίνει V v

Ἀλλ' ἡμᾶς φησι δύο πρόσωπα λέγειν, τὸν θεὸν καὶ τὸν παρὰ τοῦ θεοῦ προσληφθέντα ἄνθρωπον· αὐτὸν δέ φησι μὴ οὕτως ἔχειν, ἀλλὰ φάσκειν τὸν σαρκωθέντα καὶ ὄντα οὐχ ἕτερον παρὰ τὸν ἀσώματον, ἀλλὰ τὸν αὐτὸν καθ' ὁμοίωσιν ἡμετέρας τῆς ἐν σαρκὶ ζωῆς. ἔτι διὰ τῶν ἀσυστάτων ἡμῖν τοὺς φληνάφους διέξεισιν. ὁ σάρκινος αὐτοῦ θεὸς ἁπλοῦς εἶναι φύσιν οὐκ ἔχει· οὐ γὰρ ἄν τις ἐν τῇ σαρκὶ τὸ ἁπλοῦν θεωρήσειε· τὸ δὲ μὴ ἁπλοῦν ἀσύνθετον εἶναι οὐ δύναται. ἀλλ' οὕτος εἶναι τὸ ἓν λέγει ὡς καὶ ἡμῶν ἕκαστον, ἐκ πνεύματος, φησί, καὶ ψυχῆς καὶ σώματος. νῦν πρώτως τὸ καινὸν εἶδος τοῦ ἀριθμοῦ ἐδιδάχθημεν, μαθόντες ὅτι τὰ εἰς τρία ἑτερογενῆ διῃρημένα μονάς ἐστιν. ἀλλ' ὁ μὲν περὶ τοῦ ἀναπλασθέντος αὐτῷ πνεύματος ὑπερκείσθω λόγος· κατὰ δὲ τὴν παχυμερεστέραν τοῦ ἀνθρώπου τομήν, καθὼς οἱ πολλοὶ διαιρεῖν ἐδιδάχθημεν, ἐκ νοερᾶς ψυχῆς καὶ σώματος εἶναι τὴν τοῦ ἀνθρώπου σύστασιν ὁμολογοῦντες πῶς εἴπωμεν τὰ δύο ἕν, τοῦ ἀποστόλου σαφῶς δύο ἀνθρώπους περὶ ἕκαστον βλέποντος, ἐν οἷς φησιν Εἰ καὶ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος διαφθείρεται, τὸ σῶμα λέγων, ἀλλ' ὁ ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ, τὴν ψυχὴν αἰνισσόμενος. καίτοι εἰ τρεῖς ἦσαν κατὰ τὸν Ἀπολινάριον ἄνθρωποι, δύο πάντως ἂν τοὺς ἀφανεῖς καὶ ἕνα ἐποίησε τὸν φαινόμενον, ὥστε κἂν ἐν τῷ καθ' ἡμᾶς ὑποδείγματι κρατύνῃ τὸν ἴδιον λόγον ἓν ὀνομάζων τὰ δύο, παραγράφεται αὐτὸν ὁ Παῦλος διαιρῶν τὸν ἄνθρωπον ἐν τῇ δυϊκῇ σημασίᾳ. ἐπεὶ οὖν διὰ τοῦ ἀνθρωπίνου τὸν τοῦ δόγματος ἑαυτοῦ λόγον συνίστησι, τῇ τούτου ἀνατροπῇ κἀκεῖνο πάντως συναπελέγχεται· ὃ δὲ λέγει τοιοῦτόν ἐστι ὅτι Ὥσπερ ἄνθρωπος εἷς ἐστιν ἐκ πνεύματος καὶ ψυχῆς καὶ σώματος. ἐγὼ μὲν οὖν ἠξίουν τοῦτο πρότερον στῆσαι, ποίου σώματος καὶ πόθεν

18 II Cor 4, 16

VG VᶜF v l 2 παρὰ: πατέρα V 5 ἡμετέρας v: ἡμετέραν libri 6 τῆς om v 9 οὕτως l 16 διαιροῦσιν VG 18 εἴπομεν G 19 βλέποντες F 22 εἰ: οἱ F 24 ἐπιδείγματι κρατύνει v 29 ante ἄνθρωπος add ὁ VᶜF l 31 οὖν et τοῦτο om V v στῆσαι correxi: στῆναι libri v

εἰλημμένου καὶ πότε πλασθέντος καὶ ποδαπῆς ψυχῆς, 1201 M. ἢ λογικῆς ἢ ἀνθρωπίνης ἢ ἀλόγου, τουτέστιν, εἰ κτηνείας εἶναι τὸν ἄνθρωπον ἐκεῖνον οἴεται, εἶθ' οὕτως ἐπεμβαλεῖν τὸ νοερόν, ὅπερ ἄλλο τι παρὰ τὸ πνεῦμα εἶναί φησιν, ἐπὶ μὲν ἡμῶν νοῦν, ἐπὶ ἐκείνου δὲ θεὸν ὀνομάζων· εἰ γάρ τις οὐρανίου ἀνθρώπου πλάσις καθ' ὁμοιότητα τοῦ χοϊκοῦ παρ' αὐτοῦ πρότερον ἐπεδείχθη, προήχθημεν ἂν δι' ἀκολουθίας τῷ μύθῳ, μαθόντες παρὰ τῆς καινῆς ταύτης σοφίας, ὅτι τὸ μὲν ἐπίγειον τῶν ἀνθρώπων φῦλον ἐκ νοερᾶς ψυχῆς καὶ σώματος τὴν σύστασιν ἔχει, γένος δέ τι ἔστιν ἐπουρανίων ἀνθρώπων, οἷς ἄλογος μὲν ἡ ψυχὴ σῶμα δὲ ἀνθρώπινον καὶ θεὸς ἀντὶ νοῦ τῷ λόγῳ τοῦ σώματος καὶ τῆς ψυχῆς ἀνακιρνᾶται, ἐξ ὧν εἶναι τὸν ἐπὶ γῆς φανέντα Ἀπολινάριος οἴεται. ἐκείνου δὲ μήτε ἀποδειχθέντος μήτε ὄντος, τοῦ δὲ διὰ τῆς παρθένου γεννηθέντος ἀθετουμένου ὡς οὐδὲ τῆς ἡμετέρας μετασχόντος φύσεως, ἀλλότριον ἡγοῦμαι καὶ ἀνακόλουθον σῶμα μὲν ὀνομάζεσθαι τὸ μὴ σῶμα, ψυχὴν δὲ ἀνθρώπου τὴν μὴ ψυχήν. εἰ γὰρ μὴ νοερὰν αὐτήν τις εἶναι ὁμολογοίη, οὐδὲ ἀνθρώπου αὐτὴν ὅλως συνθήσεται. τούτων δὲ μὴ ὄντων τίνα καιρὸν ἔχει ἡ τριμερὴς ἐκείνη τοῦ ἀνθρώπου τομή, ἧς τὸ μὲν δίμοιρον ἄνθρωπος, θεὸς δὲ τὸ τριτημόριον; Οὐ γὰρ ἄν, φησίν, ἐν ὁμοιώματι ἀνθρώπου γεγονὼς εἴη, εἰ μὴ τυγχάνοι καθάπερ ἄνθρωπος νοῦς ἔνσαρκος ὤν. ἐγὼ δὲ εἰ μὲν ἐκεῖνος ὁ ἄνθρωπος ἄνους ἦν, ἐν ᾧ θεὸς κατήλλαξε τὸν κόσμον ἑαυτῷ, εἰπεῖν οὐκ ἔχω· ὅτι δὲ ὁ ταῦτα γράφων ἔξω διανοίας ἦν, καθ' ὃν ἔγραφε ταῦτα χρόνον, κἂν ἐγὼ μὴ εἴπω, τὰ γεγραμμένα βοᾷ. πῶς γίνεται ἐν ὁμοιώματι ἀνθρώπου ὁ ἄλλο τι παρὰ τὸν ἄνθρωπον ὢν καὶ πάντῃ ‹ἀμέτοχον› τῆς ἡμετέρας φύσεως; εἰ γὰρ νοερὰ ψυχὴ καὶ σῶμα τὸ ἀνθρώπινον σύγκριμα, μήτε δὲ τὸ σῶμα τοῦτο μήτε ἡ ψυχὴ ἐκείνη ἐν τῷ παρ' αὐτοῦ ἀναπλασθέντι ἐστί, πῶς

VG V^{c}F v l 1 τότε V 2 ἢ ante λογικῆς: εἰ VG ἢ ante ἀνθρωπίνης corr ex εἰ G κτηνίας V 10 τι om V v 11 καὶ θεὸς VG v: θεὸς δὲ V^{c}F 20 τομή V^{c}F v: ψυχή VG 21 τριμόριον F 27 βοᾷ om F ἀμέτοχον add Jaeger (cf 187, 5)

δέχεται τὴν ὁμοίωσιν τοῦ ἀνθρώπου τὸ τῆς ἡμετέρας ἔκφυλον φύσεως; ἀλλ᾽ οὐκ ἄνθρωπον αὐτὸν εἶναί φησιν, ἀλλὰ καθάπερ ἄνθρωπον, νοῦν ἔνσαρκον ὄντα. ταῦτά ἐστιν, ἅ με πείθει ἔξω διανοίας εἶναι τὸν γράφοντα. πῶς ὁμοιοῦται τῇ φύσει τὸ μὴ μέτοχον τῆς φύσεως; τίς δέ ἐστιν ὁ ἔνσαρκος ἐκεῖνος νοῦς ὁ συμφυὴς τῆς σαρκὸς καὶ ἀχώριστος, ἀεὶ τοιοῦτος ὤν; οὐκοῦν καὶ ἐκ τοιούτου πάντως ἐστίν; οὐ γὰρ ἂν εἴη γεννητὴ σάρξ, εἰ μὴ ἀπὸ σαρκὸς γένοιτο, καθώς φησί που ὁ κύριος ὅτι Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν. [ἀλλ᾽ ὕστερον γίνεται.] ποίαν οὖν περιτιθέμενος σάρκα ἔνσαρκος γίνεται; τὴν οὖσαν; <ἀλλ᾽ ὕστερον γίνεται. τὴν μὴ οὖσαν;> ἀλλ᾽ ἐκ τῆς αὐτῆς. [τὴν μὴ οὖσαν;] οὐκοῦν οὐ λέγεται ἔνσαρκος· οὐ γὰρ ἂν τῷ μὴ ὄντι ἐπονομάζοιτο.

1204 M. Ἀλλ᾽ ἴδωμεν τὰς ἀφύκτους αὐτοῦ τῶν συλλογισμῶν ἀνάγκας, δι᾽ ὧν ἡμᾶς πρὸς συγκατάβασιν τοῦ ἔνσαρκον εἶναι νοῦν τὸν μονογενῆ θεὸν συναναγκάζει. Εἰ μὴ νοῦς, φησίν, ἔνσαρκός ἐστιν ὁ κύριος, σοφία ἂν εἴη. ὢ τῆς ἀμάχου προτάσεως! τὸ ἕτερον ἐξ ἀμφοτέρων οἴεσθαι πάντως εἶναι τὸν κύριον, ἢ νοῦν ἔνσαρκον ἢ σοφίαν· διὰ τοῦτό φησιν ἐκεῖνο εἶναι, εἰ μὴ τοῦτό ἐστιν, ὅτ᾽ ἂν μὴ νοῦς ἔνσαρκος ᾖ, πᾶν ὃ μή ἐστι νοῦς ἔνσαρκος, σοφία ἐστίν. τί οὖν ὁ λίθος; τί δὲ ὁ κάνθαρος; τί δὲ τὰ λοιπὰ τῶν φαινομένων; δώσει γὰρ ἐπὶ τούτων πάντως τῶν δύο τὸ ἕτερον, ἢ νοῦν αὐτὰ ἔνσαρκον ἢ σοφίαν εἶναι· ἀλλὰ μὴν οὔτε νοῦς οὔτε σοφία τούτων ἐστὶν οὐδέν. διαπέπτωκεν ἄρα τῷ λογογράφῳ ἡ πρότασις καὶ διερρύη πᾶν τὸ σκευώρημα τῇ τῆς ἀρχῆς διαλύσει συνδιαπεπτωκότος τοῦ λόγου. οὐδὲ γὰρ ἐδείχθη ταῦτα τὴν ἀντιδιαστολὴν πρὸς ἄλληλα ἔχοντα ὥστε, εἰ τὸ ἕτερον τούτων εἴη, μὴ εἶναι τὸ ἕτερον ἢ τὸ ἔμπαλιν, εἰ τὸ

8 Joh 3, 6

VG VcF v l 3 νοῦν corr l: ἄνουν libri v 9-12 ordinem verborum in libris et v turbatum restituere temptavi 10 περιτιθέμενος VcF: περιτεθειμένος corr ex περιτεθημένος VG v 13 ἂν om VG 20 ἐκεῖνον VG v 26 σκευώρημα G: σκαιώρημα cet v 27 διαπεπτωκότος V v οὐδὲν VG

ἓν μὴ ὑπάρχοι, τὸ λειπόμενον ὑπάρχειν πάντως· ἀλλὰ κωλύει οὐδὲν καὶ ἀμφότερα εἶναι κατὰ ταὐτὸν καὶ οὐθέτερον. ἀλλὰ καὶ ἐκ τοῦ ἀντιστρόφου τὸ τῆς προτάσεως ἀσύστατον ἴδωμεν. εἰ γὰρ ὡς ἀληθὲς προτείνεται τὸ εἰ μὴ νοῦς ἐστιν ἔνσαρκος, σοφία ἂν εἴη, ἀληθὲς καὶ τὸ ἐκ τοῦ ἀντιστρόφου ἀναφαινόμενον ὅτι, εἰ σοφία ἐστί, νοῦς ἔνσαρκος οὐκ ἔστιν. ἀλλὰ μὴν σοφίαν εἶναι τὸν Χριστὸν πᾶς ὁ παραδεξάμενος τὴν πίστιν συντίθεται· ἄρα κατὰ τὴν τοῦ σοφοῦ πρότασιν τὸ μὴ εἶναι αὐτὸν νοῦν ἔνσαρκον ὁμολογεῖται ὥστε κατ' ἀμφότερα, κατά τε τὸν πρῶτον καὶ τὸν δεύτερον καὶ κατὰ τὸν νῦν λόγον, αὐτὸς ὁ λογογράφος, δι' ὧν κατασκευάζει ὃ βούλεται, τὸ μὴ εἶναι ἔνσαρκον νοῦν τὸν κύριον ἀποδείκνυσιν. τοιαύτη ἡ πρότασις, τοιαύτη καὶ ἡ διὰ μέσου κατασκευή.

῎Αξιον ἀμφοτέρων καὶ τὸ συμπέρασμα. τί λέγει; Οὐκ ἦν ἐπιδημία θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις. γελάτωσαν ἐπὶ τοῖς εἰρημένοις ὅσοι ἀγέρωχοι· ἡμεῖς δὲ δακρύειν εὔκαιρον ἐπὶ τῇ ἀπάτῃ τῶν εἰρημένων καὶ τῇ ματαιότητι κρίναντες ἐπὶ πλέον διελέγχειν τὸν λόγον, ὡς ἂν μὴ γελοιάζειν δόξαιμεν, παραιτούμεθα. τίς γὰρ οὐκ ἂν εἰκότως γελάσειεν ἐπὶ τῇ ἀσυναρτήτῳ τοῦ συλλογισμοῦ πλοκῇ; ἐκθήσομαι δὲ τὴν λέξιν αὐτὴν κατὰ τὸ ἀκόλουθον οὕτως ἔχουσαν· Εἰ μὴ νοῦς ἔνσαρκός ἐστιν ὁ κύριος, σοφία ἂν εἴη φωτίζουσα νοῦν ἀνθρώπου· αὕτη δὲ τὸ ἐν πᾶσιν ἀνθρώποις. εἰ δὲ ταῦτα, οὐκ ἦν ἐπιδημία θεοῦ ἡ Χριστοῦ παρουσία, ἀλλ' ἀνθρώπου γέννησις. τὸ μὲν οὖν σοφίαν εἶναι τὸν κύριον 1205 M. ὑπερέχουσαν πάντα νοῦν οὐδεὶς ἂν τῶν εὐσεβούντων ἀρνήσαιτο, ταῖς φωναῖς τῶν ἁγίων πατέρων καὶ ἀποστόλων πρὸς ταῦτα χειραγωγούμενος. καὶ γὰρ ὅτι

VG VcF v l 1 ὑπάρχειν correxi: ὑπάρχει VG v, ὑπάρχοι VcF 5 ἐκ om F 6 εἰ: ἡ F 15 τῷ συμπεράσματι VG 16 ἐπιδημία v l Zacagnium secuti: σοφία libri 17 γένεσις Vc 18-19 τῇ ἀπάτῃ τῶν εἰρημένων VcF v: τοῖς εἰρημένοις VG 19 πλεῖον libri v, correxi 22 λογισμοῦ VG 25 τὸ VG: καὶ VcF v l 27 γένεσις VcF

σοφία ἐγενήθη ἡμῖν παρὰ τοῦ θεοῦ, διαρρήδην ὁ Παῦλος βοᾷ· καὶ ὅτι Ἐπεφάνη ἡμῖν ἡ σωτήριος χάρις, παιδεύουσα ἡμᾶς ἀρνήσασθαι μὲν τὴν ἀσέβειαν, δι' ὁσιότητος δὲ καὶ δικαιοσύνης προσδέχεσθαι τὴν μακαρίαν ἐλπίδα. καὶ ταῦτα τοῦ ἀποστόλου διεξιόντος ἠκούσαμεν· νοῦν δὲ ἔνσαρκον τὸν μονογενῆ θεόν, τὸν ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν, οὔτε ἠκούσαμεν τῶν ἁγίων τινὸς οὔτε παρενθεῖναι ταῖς θείαις φωναῖς τὴν ἀλλόκοτον ταύτην καινοφωνίαν καταδεχόμεθα καὶ μάλιστα πρὸς τὸν σκοπὸν ὁρῶντες τοῦ καινοῦ λογογράφου, ὃς βούλεται διὰ τῆς ψυχρᾶς ταύτης κατασκευῆς τοῦ σοφίσματος ἐκβαλεῖν μὲν ἐπὶ τοῦ κυρίου τὴν τῆς σοφίας ὁμολογίαν, δι' ἧς πάντα νοῦν φωτίζεσθαι πεπιστεύκαμεν, ἀντεισαχθῆναι δὲ τὴν παράλογον ταύτην καινοφωνίαν, ἵνα νοῦς ἔνσαρκος ὁ μονογενὴς καὶ μὴ σοφία κατονομάζηται. Ἐὰν γὰρ σοφία, φησίν, πιστευθῇ εἶναι ὁ κύριος, ἡ ἐν πᾶσι γινομένη δηλαδὴ τοῖς δεχομένοις τὴν χάριν, οὐκέτι ἐπιδημίαν θεοῦ τὴν Χριστοῦ παρουσίαν ὁμολογήσομεν, ὡς ἠλλοτριωμένης τοῦ θεοῦ τῆς σοφίας. τίς οὐκ ἂν τὸν ἄνδρα τῆς μελαγχολίας ταύτης οἰκτείρειεν; ἐὰν σοφίαν, φησίν, εἶναι πιστεύσωμεν, οὐκ ἔσται θεοῦ ἐπιδημία ἡ Χριστοῦ παρουσία, ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, ἀλλὰ ἀνθρώπου γέννησις. ἐὰν σοφία ᾖ; οὐκ ἤκουσας τοῦ προφήτου βοῶντος ὅτι Ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν; καὶ ὅτι Παιδίον ἐγεννήθη ἡμῖν; καὶ ὅτι Υἱὸς τὴν ἀρχὴν ἐπὶ τοῦ ὤμου ἔχει, ὡς ἰσχυρὸς καὶ δυνατὸς καὶ οὐ μόνον τοῦ παρελθόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος αἰῶνος πατήρ;

Ἀλλ' ἐάσωμεν τοῦτον τὸν ὀνειρώδη λῆρον, δι' οὗ ἀπε-

1 I Cor 1, 30   2 Tit 2, 11   21 I Cor 1, 30   23 Is 7, 14
24 Is 9, 5   25 Is 9, 5

VG VᶜF v l 8 in marg γραφαῖς VᶜF   κενοφωνίαν VᶜF   12 φωτίζεσθαι Vᶜ (cf 188, 24 et 190, 1): σοφίζεσθαι cet v   13 κενοφωνίαν VᶜF   15 ἐμπιστευθῇ V v   16 γινομένη om V v   τοῖς om V v   18 ἠλλοτριωμένη v   20 οἰκτείροιεν VG v   21 post ἔσται add δὲ G   ἐγενήθη v   22 γέννησις l: γένεσις libri v   ᾗν VᶜF   28 δι' οὗ (in marg διὸ) VᶜF: διὸ VG v

φήνατο νοῦν ἔνσαρκον αὐτὸν δεῖν εἶναι λέγειν, μήτε σοφίαν φωτίζουσαν μήτε τὴν διὰ γεννήσεως εἰς τὴν ζωὴν ἡμῶν πάροδον. ἕτερον ἐπιχείρημα· Εἰ μὴ νοῦς ἔνσαρκος, φησίν, γέγονεν ὁ λόγος, ἀλλὰ σοφία. ἐν ᾧ τί πάλιν παθὼν ὁ σοφὸς ἀντιδιαστέλλει τὸν νοῦν τῇ σοφίᾳ καθάπερ ἐπὶ τῶν ἀντιδιακειμένων; οἱ δι' ἀκριβείας τὰ ὄντα διαιροῦντές φασι τὰ ἀντιδιαστελλόμενα τῶν ὀνομάτων τῆς ἀλλήλων ὑποχωρεῖν παρουσίας ὡς τῷ θανάτῳ τὴν ζωὴν καὶ τῇ ζωῇ πάλιν τὸν θάνατον, τῇ ἀρετῇ τὴν κακίαν κἀκείνῃ ταύτην καὶ ὅσα ἄλλα κατὰ τὸν αὐτὸν λέγεται τρόπον. πῶς τοίνυν οὗτος
1208 M. κατὰ τὸ ἴσον τοῖς ἀντιθέτοις ἀντιδιαστέλλει τῷ νῷ τὴν σοφίαν ὥσπερ ἀμήχανον ἐν τῷ αὐτῷ καὶ περὶ τὸν αὐτὸν εἶναι τὰ δύο; διό φησιν Εἰ μὴ νοῦς ἔνσαρκος ἦν, σοφία ἦν· ὡς εἴ τις λέγοι, εἰ μὴ ὑγεία ἐστι, νόσον εἶναι. τίς οὖν ἡ κατασκευή; Εἰ σοφία, φησίν, ἦν ἐν τῷ νῷ, οὐ κατέβη ὁ κύριος οὐδὲ ἐκένωσεν ἑαυτόν. ὢ τῆς ἀνανταγωνίστου ἀνάγκης! πῶς κατασκευάζει τὸ μὴ καταβεβηκέναι τὸν κύριον ἐκ τοῦ δεῖξαι, ὅτι σοφία ἦν; οὐκοῦν εἰ ἐκ τοῦ σοφίαν αὐτὸν εἶναι ἀθετεῖται ἡ κάθοδος, ὁ τὴν κατάβασιν ὁμολογῶν τὸ μὴ εἶναι σοφίαν ἐξ ἀνάγκης κατασκευάζει. ἀλλὰ μὴν ὁμολογεῖται παρὰ τοῦ Ἀπολιναρίου κάθοδος. ἄρα τὸ μὴ εἶναι σοφίαν τὸν κατεληλυθότα παρ' ἐκείνου συνωμολόγηται. τοιαῦτα τοῦ γενναίου τὰ σοφὰ κατὰ τῆς ἀληθείας ἐπιχειρήματα. εἶτα ἐπάγει διὰ τῆς ἀσυναρτήτου ἀκολουθίας τῇ προτάσει ταύτῃ τὴν ἐκ τῶν μὴ τεθέντων κατασκευήν, ἔχουσαν οὕτως· Διὰ τοῦτο καὶ ἄνθρωπος ἦν· ἄνθρωπος γὰρ νοῦς ἐν σαρκὶ κατὰ τὸν Παῦλον. παραιτοῦμαι δὲ τοὺς ἐντυγχάνοντος μὴ παρ' ἡμῶν οἴεσθαι κατά τινα παιδιὰν ἐπὶ γέλωτι τὰ τοιαῦτα, ὡς ἐκ προσώπου τοῦ Ἀπολιναρίου συμπλάσσεσθαι· ἔξεστι γὰρ καὶ ἐξ αὐτῶν τῶν παρ' αὐτοῦ γεγραμμένων μαθεῖν, ὅτι κατὰ τὴν λέξιν ὁ

VG VᶜF v l 2 μήτε VᶜF: οὔτε VG v 5 μαθὼν VᶜF 13 ante νοῦς add ὁ VG 14 σοφία ἦν om VG 19 ἀθετεῖται libri: ἀθετεῖ καὶ v 22 post ἄρα add καὶ VᶜF v 23 συνομολόγηται VG v, corr G VᶜF 25 ταύτην VG τεθέντων F l: τιθέντων cet v

παρ᾽ ἐκείνου προενήνεκται λόγος οὕτως ἔχων. κατὰ ποῖον τοίνυν Παῦλον νοῦς ἔνσαρκος ἄνθρωπος λέγεται; εἰπάτω τίνα ἕτερον ἐν κρυπτῷ ἔχει Παῦλον; ὁ γὰρ δοῦλος Ἰησοῦ Χριστοῦ ὁ κλητὸς ἀπόστολος ἐν πᾶσι τοῖς παρ᾽ αὐτοῦ γεγραμμένοις τοιοῦτον εἶπεν οὐδέν. εἰ οὖν μήτε ἡ ἀκολουθία μήτε ἡ μαρτυρία τὸν λόγον συνίστησι, πόθεν ἡ ἀλλόκοτος αὕτη δογματοποιία τὸ πιστὸν ἔχει; πάλιν ἕτερον τοῖς εἰρημένοις ἐπάγει νόημα. *Ἐπειδὴ ἄνθρωπος*, φησίν, *ἦν καὶ ἐπουράνιος, οὗτος ὁ χοϊκός.* πάλιν λέγω ἐπιλελῆσθαι τῆς Μαρίας, ἣ εὐαγγελίζεται ὁ Γαβριήλ, ἐφ᾽ ἣν ἐληλυθέναι τὸ ἅγιον πνεῦμα πιστεύεται, ἣ ἐπισκιάζει τοῦ ὑψίστου ἡ δύναμις, ἀφ᾽ ἧς τίκτεται ὁ Ἰησοῦς ὁ ἔχων τὴν ἀρχὴν ἐπὶ τοῦ ὤμου αὐτοῦ, τουτέστιν ὁ βαστάζων ἐφ᾽ ἑαυτοῦ τὴν ἀρχήν. ἀρχὴ δὲ πάντως ἐστὶν ὁ θεὸς λόγος ὁ ἐν ἀρχῇ ὢν καὶ ἀρχὴ ὤν, καθώς φησί που τῆς γραφῆς ὁ λόγος, ὅτι Ἐγώ εἰμι ἡ ἀρχή. ἢ τοίνυν δειξάτω μὴ ἐν γῇ τὴν παρθένον ἢ ἄνθρωπον οὐράνιον μὴ πλασσέτω μηδὲ φοβείτω τοὺς ἀμαθεστέρους ὡς εἰς τὸ θεῖον ἐξαμαρτάνοντας, ὡς τὸ ἀνθρώπινον παραδεξάμενοι μὴ συνομολογοῖεν τὸ θεῖον. ἡ μὲν γὰρ ἐκ γυναικὸς γέννησις τὸ ἀνθρώπινον ἔχει, ἡ δὲ παρθενία ὑπηρετήσασα τῷ τόκῳ τὸ ὑπὲρ ἄνθρωπον ἔδειξεν. ὥστε τὸ μὲν γεννηθὲν ἄνθρωπος, ἡ δὲ πρὸς τὴν γέννησιν δύναμις οὐκ ἐξ ἀνθρώπων, ἀλλὰ διὰ πνεύματος ἁγίου καὶ τῆς τοῦ ὑψίστου δυνάμεως. οὐκοῦν κατὰ τὸν ἀληθῆ λόγον 209 M. καὶ ἄνθρωπός ἐστι καὶ θεός, τῷ ὁρωμένῳ ἄνθρωπος, τῷ νοουμένῳ θεός. ὁ δὲ οὐ τοῦτό φησιν, ἐν τῷ συμπεράσματι τῷ φαινομένῳ τὸ θεῖον, οὐ τῷ νοητῷ ὁριζόμενος.

Ἀλλὰ πρὸς τὸ ἐφεξῆς ἐπιχείρημα τῷ λόγῳ μετέλθωμεν. *Εἰ μετὰ τοῦ θεοῦ*, φησί, *νοῦ ὄντος, καὶ ἀνθρώπινος νοῦς ἦν ἐν Χριστῷ.* τοῦτο ἡ πρότασις. ἡμεῖς δὲ τῷ εἰρημένῳ ἀντιπροτείνομεν· τίς τῶν ἁγίων νοῦν τὸ

16 Apoc 1, 8

VG V^cF v l 10 ἐπιλελῆσθαι: supra τ (i e ἐπιλέληται) G 15 καὶ ἀρχὴ ὤν om VG 18 ὡς ante τὸ: εἰ V^c 19 μὴ v: om libri 29 φησίν om VG

θεῖον ὡρίσατο; παρὰ ποίαις γραφαῖς ταὐτὸν εἶναι τῷ νῷ τὸν θεὸν ἐδιδάχθημεν, ὥστε παραδέξασθαι τὸ λεγόμενον, ὅτι ὁ μὲν κατὰ Χριστὸν ἄνθρωπος ἄνους, ὁ δὲ θεὸς νοῦς τῷ ἀνοήτῳ γίνεται; ἄρα χρὴ καὶ ὅλον τοῦ ἐπιχειρήματος τούτου καταγράψαι τὸν ὄνειδον. ἀλλὰ δέδοικα, μὴ χλευασταί τινες τοῖς ἐντυγχάνουσι δόξωμεν ὡς ἐπὶ γέλωτι τὴν ἀσχημοσύνην τοῦ λογογράφου δημοσιεύοντες. πλὴν ὡς ἂν μὴ ἀτελὴς μένοι ἡ πρότασις, τὸ συμπέρασμα μόνον ἐπαγαγεῖν δέον, τὸν διὰ μέσου συρφετὸν ὑπερβήσομαι. Εἰ μετὰ τοῦ θεοῦ, φησί, νοῦ ὄντος, καὶ ἀνθρώπινος ἦν ἐν Χριστῷ νοῦς· οὐκ ἄρα ἐπιτελεῖται ἐν αὐτῷ τὸ τῆς σαρκώσεως ἔργον. εἰ δὲ μὴ ἐπιτελεῖται τὸ τῆς σαρκώσεως ἔργον ἐν τῷ αὐτοκινήτῳ καὶ μὴ ἀναγκαστῷ νοΐ, ἐν τῷ ἑτεροκινήτῳ καὶ ὑπὸ τοῦ θείου νοῦ ἐνεργουμένῃ σαρκὶ τελεῖται τὸ ἔργον, ὅ ἐστι λύσις ἁμαρτίας· μεταλαμβάνει δὲ τῆς λύσεως ὁ ἐν ἡμῖν αὐτοκίνητος νοῦς, καθ' ὅσον οἰκειοῖ ἑαυτὸν Χριστῷ. ὁρᾷς πῶς οἰκεῖα τῇ προτάσει τὰ συμπεράσματα; τάχα δέ τινος ἐπαοιδοῦ καὶ γαζαρηνοῦ προσδεόμεθα πρὸς τὸ διακρῖναι ἡμῖν τὰ τῶν ἐνυπνίων αἰνίγματα, ὥστε εἰπεῖν τί σημαίνει ἡ τῶν ῥημάτων τούτων καινοφωνία· ὁ αὐτοκίνητος νοῦς καὶ ἑτεροκίνητος, σὰρξ ἡ ἐπιτελοῦσα τὸ ἔργον τῆς λύσεως. ἀλλ' ἀφείσθω καὶ ταῦτα τῇ ἀγερωχίᾳ τῶν νέων καταχλευάζεσθαι, ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προΐωμεν. Εἴ τι πλέον, φησίν, ἕτερος ἑτέρου κομίζεται, τοῦτο δι' ἄσκησιν γίνεται· οὐδεμία δὲ ἄσκησις ἐν Χριστῷ· οὐκ ἄρα νοῦς ἐστιν ἀνθρώπινος. πῶς μέμνηται τῆς θεοπνεύστου γραφῆς; ποία τοῦ Βεσελεὴλ ἄσκησις τῶν τεχνῶν καθηγήσατο;

29 Exod 31, 1

VG VᶜF v l 2 παραδέξασθαι om VG 3 δὲ om V, post θεὸς add v 3-4 τῶν ἀνοήτων G 8 ἐπάγειν Vᶜ l ante διὰ add δὲ VᶜF l 10 ἄνθρωπος VG 14 τῷ: τῇ F 19 γαζαρηνοῦ GF (cf Dan 4, 7): corr ex γαληνοῦ V, γαληνοῦ v 20 προσδεόμενα libri v, correxi 21-22 κενοφωνία VᶜF 23 ἐπιτελοῦσα Vᶜ v l: ἐπιτάσσουσα cet 25 φησίν om V

πόθεν δὲ τῷ Σολομῶντι τῶν τοσούτων ἡ γνῶσις; ὁ δὲ τὰ συκάμινα κνίζων Ἀμὼς πῶς ἐξ αἰπόλων τοσαύτην ἔσχεν ἐν προφητείᾳ τὴν δύναμιν; καὶ ὅμως οὐδεὶς τῶν εἰρημένων, ἐξ οὐρανοῦ καταβέβηκεν, <ὃς> οὔτε ἐν ἀρχῇ ἦν οὔτε ἴσα θεῷ ἦν.

1212 M. Ἀλλὰ σιγάσθω καὶ τοῦτο τὸ ἐπιχείρημα μάλιστα διὰ τὸ προσφυὲς τοῦ προτεθέντος αὐτῷ συμπεράσματος οὕτως κατὰ τὴν λέξιν ἔχοντος· Οὐκ ἄρα σῴζεται τὸ ἀνθρώπινον γένος δι' ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ διὰ προσλήψεως σαρκός. τὸ μὲν συμπέρασμα τοῦτο· τὴν δὲ τῆς ἀναλήψεως καὶ προσλήψεως διαφορὰν ἑρμηνευόντων οἱ ταῖς γραμματικαῖς ψυχρολογίαις ἐμμελετήσαντες, ὥστε τῶν τοιούτων τοῦ λόγου μορίων, ἃ προθέσεις κατονομάζονται, τεχνολογεῖν ἐν μειρακίοις τὴν ἐν ὀλίγῳ διαφωνίαν. ἡμεῖς γὰρ καὶ τὸν προσειλημμένον ἀνειλῆφθαι νομίζομεν καὶ τὸν ἀνειλημμένον προσειλῆφθαι οὐκ ἀμφιβάλλομεν, παρὰ τῆς γραφῆς τὴν τοιαύτην χρῆσιν τοῦ λόγου μεμαθηκότες. Μετὰ δόξης προσελάβου με, φησὶν ὁ Δαβίδ· καὶ πάλιν ἑτέρωθι· Ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τοῦ πατρὸς αὐτοῦ. οὐκοῦν καὶ ὁ μετὰ δόξης προσληφθεὶς ἀνελήφθη καὶ ἐκ τῶν ποιμνίων ἀναληφθεὶς προσελήφθη· περὶ γὰρ τοῦ αὐτοῦ δύο λέγει, ὥστε τί βούλεται ὁ λέγων οὐκ ἀναλήψει ἀλλὰ προσλήψει τῷ μονογενεῖ τὸ κατὰ τὸν ἄνθρωπον οἰκονομεῖσθαι μυστήριον, οὐδ' ἂν αὐτὸς εἴποι τάχα. ἐγὼ δὲ φεύγων τῇ ἰλύϊ τῶν ἀσυναρτήτων αὐτοῦ ῥημάτων συνδιαβαπτίζειν τὸν λόγον τὰ πολλὰ τῆς φλυαρίας ἀφίημι, ἱκανὸν ἔλεγχον εἶναι τῆς ἀτοπίας τῶν λεγομένων οἰόμενος αὐτὴν ἐπὶ λέξεως αὐτοῦ τὴν τῶν γεγραμμένων ἀνάγνωσιν, ὡς καὶ τὸν σφοδρῶς καταδραμεῖν τῆς αἱρέσεως ἐθέλοντα μὴ ἂν τοσοῦτον ἐξ

1 Amos 7, 14 18 Ps 72, 24 19 Ps 77, 70

VG V^c^F v l 4 <ὃς> addidi 7 οὑτωσί V^c^F l 11 καὶ προσλήψεως om VG 18 προσέλαβον v 20 τοῦ πατρὸς αὐτοῦ VG v: τῶν προβάτων (Ps 77, 70) V^c^F 22 ante δύο add τὰ V^c^F

οἰκείων λογισμῶν διελέγξαι τὴν ἀτοπίαν ὡς αὐτὸς ὁ λόγος· δι' ὧν γὰρ κατασκευάζει τὸ ψεῦδος ἐν τῇ ἀτονίᾳ τῆς συνηγορίας ἀπογυμνοῖ τὴν ἀσέβειαν. καὶ γὰρ εἰ ἀνθρώπῳ τελείῳ, φησί, συνήφθη θεὸς τέλειος, δύο ἂν ἦσαν. τὸ δὲ ἀτελὲς ἄρα τῷ τελείῳ συντεθειμένον οὐκ ἐν δυάδι παρ' αὐτοῦ θεωρεῖται. οὐκ εἶδεν ὁ γεννάδας οὐδὲ παιδία ποτὲ τοὺς ἐπὶ τῆς παλάμης δακτύλους ἐξαριθμούμενα; ὁ τὸν μικρὸν τῷ μείζονι συναριθμῶν ἕνα μὲν ὀνομάζει τὸν ἐλαττούμενον καὶ ἕνα τὸν ὑπερέχοντα, δύο δὲ ὅμως εἶναί φησιν, εἰ μετ' ἀλλήλων ἀμφοτέρους λογίζοιτο. πᾶς γὰρ ἀριθμὸς μονάδων ἐστὶ σύνθεσις, τὸ ἀθροιζόμενον ἐκ τούτων ἐν κεφαλαίῳ σημαίνων. εἰ δὲ τὸ ἀριθμητόν, ὅτιπερ ἂν ᾖ, τῷ συναριθμουμένῳ παρατιθέμενον κατὰ τὴν πηλικότητα πλεονάζοι τῷ ὄγκῳ παρὰ τὸ ἔλαττον, οὐδὲν ἧττον ἓν καὶ τὸ ἐλαττούμενον ἔσται, κἂν ἐλλείπῃ τὸ μέγεθος. ὅταν μὲν οὖν ἰσομεγέθη δύο τῷ ἀριθμῷ διαλάβωμεν, δύο τέλεια λέγομεν· ὅταν δὲ τῷ τελείῳ τὸ λεῖπον συναριθμήσωμεν,
1213 M. δύο μὲν καὶ οὕτω φαμέν, ἀλλὰ τὸ μὲν ἐλλιπές, τὸ δὲ τέλειον. ὁ δὲ πολὺς οὗτος κατὰ τὴν ἀριθμητικὴν ἐπιστήμην, εἰ μὲν τελείως ἑκάτερον κατὰ τὴν αὐτοῦ φύσιν ἔχει, δύο φησὶ λέγεσθαι τὰ οὕτω λεγόμενα· εἰ δὲ τὸ μὲν ἐλλείποι, τὸ δὲ ἕτερον τέλειον εἴη, ἓν ἀμφότερα γενέσθαι, οὐκ οἶδα ὅπως τὸ ἀτελὲς συναλείφων τῷ περιττεύοντι καὶ διὰ τῶν ἐναντίων ἐπινοῶν τοῖς ἀσυμβάτοις τὴν ἕνωσιν. τέλειον γὰρ τελείῳ καὶ ἀτελὲς ἀτελεῖ μᾶλλον ἁρμόζεται τῇ ὁμοιότητι· τῆς δὲ τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον ἑνώσεως, τοῦ ἀτελοῦς φημι πρὸς τὸ τέλειον, λεγέτω τὸν τρόπον ὁ τῆς καινῆς ταύτης ἀριθμητικῆς νομοθέτης.

Ἀλλ' οὐχ ἡγεῖται πρέπειν ἀνθρώπινον νοῦν περὶ τὸν μονογενῆ θεὸν ἐννοεῖν καὶ τὴν αἰτίαν λέγει, ὅτι τρεπτὸς ὁ νοῦς ὁ ἀνθρώπινος. οὐκοῦν ὁ αὐτὸς λόγος μηδὲ τὴν σάρκα

VG V^cF v l 5 συντιθέμενον V^cF l οὐκ ἐν om V 10 νομίζοιτο V in marg ἀριθμοῦ ἀριθμός (per errorem pro ὁρισμός, ut vid, in omnibus libris) 13 κατὰ V^cF v: παρὰ VG 14 πλεονάζει v οὐδὲν ἧττον om VG v 18 οὕτως V^cF ἐλλιπές V^cF: corr ex ἐλλειπές G, ἐλλειπές V v 22 γίνεσθαι V^cF 24 τὴν ἕνωσιν om VG

τῷ θεῷ συγχωρείτω. τὸ γὰρ τρεπτὴν αὐτὴν εἶναι οὐδὲ ὁ λογογράφος ἀντείποι, ἀπὸ νεότητος μέχρι τελειώσεως ὥσπερ ἐνδύματα μετενδυομένην τὰς ἡλικίας. ἢ πῶς οὐκ ἦν τρεπτὸς ὁ πρότερον ἐπ' ὠλένης ὑπὸ τῆς μητρὸς κομιζόμενος, εἶτα ἐν παιδίοις, εἶτα ἐν μειρακίοις γινόμενος καὶ οὕτω κατ' ὀλίγον προελθὼν εἰς τὸ τέλειον, ὥστε εἰς τὸ μέτρον τῆς ἀνθρωπίνης ἡλικίας ἐλθεῖν; εἰ οὖν ὁ νοῦς διὰ τὸ τρεπτὸν ἀποβάλλεται, διὰ τὴν αὐτὴν αἰτίαν μηδὲ ἡ σὰρξ ὑπ' αὐτοῦ συγχωρείσθω καὶ οὕτω ψευδὲς κατ' αὐτὸν δειχθήσεται τὸ εὐαγγέλιον ἅπαν καὶ κενὸν τὸ κήρυγμα καὶ ματαία ἡ πίστις. εἰ δὲ οὐκ ἀπιστεῖται τὸ ἐν σαρκὶ πεφανερῶσθαι καὶ ταύτῃ τρεπτῇ, οὐδὲ τὸν νοῦν πάντως διὰ τὴν αὐτὴν αἰτίαν ἀπόβλητον ἔχει, ἀλλ' ὥσπερ ἐν σαρκὶ γενόμενος οὐκ ἐμολύνθη, οὕτως οὐδὲ τὸν νοῦν παραδεξάμενος εἰς τροπὴν ἠλλοιώθη. πάλιν δὲ τὸν αὐτὸν ὑπολήψομαι λόγον ἐκθέμενος τὴν ῥῆσιν αὐτοῦ ἐπὶ λέξεως. Οὐκ ἄρα, φησί, σῴζεται τὸ ἀνθρώπινον γένος δι' ἀναλήψεως νοῦ καὶ ὅλου ἀνθρώπου, ἀλλὰ διὰ προσλήψεως σαρκός, ᾗ φυσικὸν μὲν τὸ ἡγεμονεύεσθαι· ἐδεῖτο δὲ ἀτρέπτου νοῦ μὴ ὑποπίπτοντος αὐτῇ διὰ ἐπιστημοσύνης ἀσθένειαν, ἀλλὰ συναρμόζοντος αὐτὴν ἀβιάστως ἑαυτῷ. τίς οὐκ οἶδεν, ὅτι τὸ δεόμενον τοῦ ἀνενδεοῦς ἕτερον τῇ φύσει πάντως ἐστὶ καὶ τὸ πεφυκὸς ἡγεμονεύεσθαι τοῦ ἐν τῇ φύσει τὸ ἄρχειν ἔχοντος ὁμοίως κατὰ τὸν λόγον τῆς οὐσίας παρήλλακται, ὡς ἡ τῶν ἀλόγων φύσις ὑποχειρίως ἔχειν τῇ τῶν ἀνθρώπων κατεσκευάσθη καὶ ὁ ἄνθρωπος οὐκ ἐπίκτητον τὴν κατὰ τῶν ἀλόγων ἀρχὴν ἀλλ' οἰκείαν ἔχει; εἰ οὖν φυσικὸν
1216 M. τῇ σαρκὶ τὸ ἡγεμονεύεσθαι, καθώς φησιν ὁ Ἀπολινάριος, ἡγεμονικὸν δὲ τῇ φύσει τὸ θεῖον, πῶς ὁ ταῦτα διδοὺς ἓν ἐξ ἀρχῆς εἶναι τὰ ἀμφότερα τῇ φύσει διορίζεται, πᾶσιν ὄντος

VG V^{c}F v l 4 post πρότερον add μὲν V^{c}F 5 γενόμενος V^{c}F 6 ὥστε VG v: ἕως V^{c}F 7 ἐλθεῖν VG v: ἦλθε V^{c}F 8 ἀναβάλλεται VG v (cf 12: ἀπόβλητον) 9 ἀποδειχθήσεται V^{c}F 12-13 τὸν G: τὸ V v om V^{c}F, qui correxerunt νοῦς . . . τὸ ἀπόβλητον ἔξει 15 ἐπαναλήψομαι V^{c}F l 26 ὁ om VG 27 ἀλόγων v: λόγων libri, τὸν λόγον supra F

προδήλου, ὅτι ἕτερος τοῦ ὑποχειρίου καὶ ἄλλος τοῦ ἐπιστατοῦντος ὁ λόγος καὶ ἄλλο τὸ πεφυκὸς ὁδηγεῖσθαι καὶ ἕτερον πάλιν, ᾧ φύσις τὸ ἡγεμονεύειν ἐστίν; εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο φύσεις εἰσίν; πῶς δὲ θείαν τινὰ καὶ οὐρανίαν σάρκα περιπλάσσει τῷ λόγῳ, μᾶλλον δὲ αὐτὸν προαποσαρκοῖ τὸν λόγον, οὐκ οἰκονομικῶς ἐπ' ἐσχάτων ἡμερῶν τὴν ἡμετέραν ὑπελθόντα μορφήν, ἀλλ' ἀεὶ τοῦτο ὄντα καὶ ἀεὶ ἐν τῷ αὐτῷ διαμένοντα; ὁ γὰρ ἐπιδεᾶ λέγων εἶναι τοῦ ἀτρέπτου τὴν σάρκα καὶ τοῦ καθηγουμένου προσδέεσθαι, τὴν ἡμετέραν ἄντικρυς λέγει σάρκα τὴν διὰ τὸ τρεπτὸν τῆς φύσεως εἰς ἁμαρτίαν πεσοῦσαν. εἰ δὲ ὑπερουράνιόν τι καὶ θεῖον σῶμα, καθώς φησι, θεωρεῖται περὶ τὸν λόγον, οὔτε τὸ τρεπτὸν αὐτῷ πάντως κατὰ τὸ ἀκόλουθον δίδωσιν οὔτε τὸ ἐπιδεὲς τοῦ εὐθύνοντος· καὶ οὗτος οὐχ ἡμέτερος ἀλλὰ τῆς θείας φωνῆς ἐστιν ὁ λόγος ὁ εἰπὼν μὴ δεῖσθαι τοὺς ὑγιαίνοντας ἰατροῦ, ἀλλὰ τοὺς κακῶς ἔχοντας. ἐν γὰρ τῷ οὐρανῷ ἡ ἐξ ἁμαρτίας νόσος οὐκ ἔστιν, ἀλλ' ἡμεῖς μὲν οἱ τὴν ἁμαρτίαν νοσήσαντες, οἱ διὰ τῆς τοῦ κακοῦ παραδοχῆς ἀσθενήσαντες, ἡμεῖς διὰ τὸ τραπῆναι πρὸς τὸ κακὸν τοῦ ἀτρέπτου προσεδεήθημεν, οἱ τῆς σῳζούσης ἀποπλανηθέντες ὁδοῦ τοῦ καθηγουμένου πρὸς τὸ ἀγαθὸν ἐν χρείᾳ γεγόναμεν· ὥστε εἰ ἀληθῆ ταῦτα τῇ περὶ τὸν κύριον σαρκὶ προσμαρτυρεῖ ὁ λογογράφος, ὅτι καὶ πέφυκεν ἡγεμονεύεσθαι καὶ ἀτρέπτου τοῦ καθηγουμένου χρῄζει, οὐδὲν ἕτερον ἢ τὸ ἡμέτερον σύγκριμα διερμηνεύει τῷ λόγῳ. εἰ δὲ ἐν τῇ σαρκὶ ὁρίζεται τὴν θεότητα, τὸ δὲ θεῖον, ἕως ἂν ᾖ τοῦτο, ὃ λέγεται, ἄλλου τοῦ ὁδηγοῦντος οὐκ ἐπιδέεται (οὐδὲ γὰρ ἐπιδέχεται τὴν πρὸς τὸ χεῖρον τροπὴν καὶ ἀλλοίωσιν), μάτην οὖν αὐτῷ τὰ περὶ τῆς σαρκὸς νῦν εἰρημένα διερραψῳ-

16 Luc 5, 31 (cf Matth 9, 12)

VG V^c^F v l 9 an ταὐτὸ? 10 καὶ τοῦ corr ex τοῦ δὲ V 14 οὔτε correxi: οὐδὲ libri v 16 ὁ λόγος om G, supra add V ὁ λόγος ἐστὶν V^c^F 19 ἡμεῖς ἐσμὲν corr ex ἡμεῖς μὲν V τοῦ om F 27 θεόν VG, θεῖον in marg VG 28 ἂν om VG 30 οὖν om add del V, om F

δηται· εἰ γὰρ θεία τις αὕτη, δῆλον ὅτι καὶ ἄτρεπτος· εἰ δὲ τρεπτή, πάντως οὐ θεία.

1217 M. Τίς ἂν οὖν διεξέλθοι τὸν συγκεχυμένον τοῦτον καὶ ἀσύστατον τῶν δογμάτων μῦθον μηδέποτε ἐπὶ τοῦ αὐτοῦ βαίνοντα ἀλλὰ κατὰ τὰς ἐνυπνίους φαντασίας ἄλλοτε ἄλλον φαινόμενον; νῦν μέν φησι θείαν εἶναι τὴν σάρκα τοῦ λόγου καὶ συναΐδιον, πάλιν ἐπίκτητον καὶ προσειλημμένην, εἶτα ἀλλοτρίως [ὡς] πρὸς τὴν ἡμετέραν ἔχουσαν φύσιν, τὴν παθητὴν καὶ ἐπίκηρον, πάλιν ἐπιδεᾶ τοῦ εὐθύνοντος καὶ τῷ κατὰ τροπήν τε καὶ ἀλλοίωσιν πάθει ἐνεχομένην· καὶ διὰ τοῦτο αὐτὴν ἄνουν ποιεῖ, ἵνα ἰατρευθῇ τῇ θεότητι ὥσπερ ἐμπόδιον ἡγούμενος τὸν νοῦν τῆς θείας ἐπ' ἀνθρώπων κηδεμονίας καὶ προσφιλέστερον τῷ θεῷ τὸ ἀνόητον. οὐκοῦν μακαριστότερον οἴεται τὸ νοῦν μὴ ἔχειν, εἴπερ προσλαμβάνεται, καθώς φησιν οὗτος, παρὰ θεοῦ τὸ ἀνόητον. τί οὖν οὐ διορθοῦται τὸν Σολομῶντα, ὅς φησιν· Ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται; οὐδὲ γὰρ ἄλλην οἶμαι τὴν κυβέρνησιν ἐνταῦθα παρὰ τοῦ παροιμιακοῦ αἰνίγματος λέγεσθαι, εἰ μὴ τὴν ἡμετέραν φύσιν τὴν ἐν κακίᾳ χειμασθεῖσαν καὶ ναυαγήσασαν, τῇ ἐπιστασίᾳ τοῦ ἀληθινοῦ κυβερνήτου πρὸς τὸν λιμένα τοῦ θείου θελήματος εὐθυνομένην. εἰ οὖν ἐν τῇ ἀνοίᾳ ὁ ἄνθρωπος σῴζεται, πῶς ὁ νοήμων κυβέρνησιν κτήσεται; τίνι δ' ἂν οἰκειότερον [ἐν] φύσει εἴη τὸ θεῖον; πρὸς τί μᾶλλον καταλλήλως ἔχειν τὴν θείαν φύσιν ὁ λογισμὸς ὑποτίθεται; παχεῖά τις καὶ ἀντιτυπής ἐστιν ἡ σὰρξ καὶ πρὸς τὴν γεώδη φύσιν συγγενῶς ἔχει, νοερὸν δέ τι καὶ ἀφανὲς καὶ ἀσχημάτιστον ἡ διάνοια. τί ἂν μᾶλλον οἰκειότερον εὑρεθείη ἐκ τούτων πρὸς τὸ συναρμοσθῆναι θεῷ, τὸ παχὺ καὶ γεῶδες ἢ τὸ ἀναφές τε καὶ ἀσχημάτιστον; πῶς δὲ συναρμόζεται τῷ θεῷ σάρξ, ὥς φησιν, ἀβιάστως ἡ μεταλαμβάνουσα τῆς καθαρᾶς ἀρετῆς;

16 Prov 1, 5

VG VcF v l 3 οὖν VcF v l: οὐ VG 5 ἄλλον correxi: ἄλλο libri v 8 ὡς seclusi 9 παθητικὴν VcF l 15 οὐ add Zacagni: om libri l 23 in marg ἐμφύῃ εἰ VcF ἐν del Jaeger 26 ἀναφανὲς VcF 29 πῶς: θῶς v

τίς γὰρ οὐκ οἶδεν, ὅτι ἀρετὴ προαιρέσεώς ἐστι κατόρθωμα; ἡ δὲ σὰρξ ὄργανόν ἐστι τῆς προαιρέσεως, τῇ ὁρμῇ τῆς διανοίας ἐγκείμενον, πρὸς ὅπερ ἂν ὁ κινῶν ἄγῃ, πρὸς τοῦτο μετατιθέμενον. ἡ δὲ προαίρεσις οὐδὲν ἕτερον εἰ μὴ νοῦς τίς ἐστι καὶ πρός τι διάθεσις. εἰ οὖν μεταλαμβάνειν φήσει τὸν ἄνθρωπον καθαρᾶς ἀρετῆς, ἐν ᾧ νοῦς οὐκ ἔστι, τὸ τὴν ἀρετὴν ἑκουσίως ὑποδεχόμενον τί ἂν εἴη; εἰ μὴ ἄρα τὸ βεβιασμένον ἀβίαστον ὁ λογογράφος νοεῖ. ὅταν γὰρ μὴ τοῦ νοῦ συντιθεμένου τῇ προτιμοτέρᾳ ῥοπῇ ἔξω τῶν κατὰ κακίαν ἐνεργημάτων τὸ σῶμα γένηται, ἀνάγκης ἔργον, οὐ προαιρέσεως ἔσται τὸ κατορθούμενον· ὁ δὲ διὰ τῆς τῶν λογισμῶν ἐπικρίσεως τὸ ἀγαθὸν προαιρούμενος κρείττων πάσης ἀνάγκης καὶ βίας ἐστὶν οἴκοθεν ἔχων τὴν πρὸς τὸ κρεῖττον ῥοπήν. πῶς οὖν τῷ ἀπροαιρέτῳ ὁ λογογράφος μαρτυρεῖ τὸ ἀβίαστον, οὗ μηδεὶς λογισμὸς ἴδιος πρὸς τὸ καλὸν καθηγήσατο; τὸ γὰρ
1220 M. μὴ ἐκ προαιρέσεως ἀναμάρτητον οὐδὲ ἐπαινετόν ἐστι πάντως, ἢ οὕτω καὶ τοὺς ὑπὸ δεσμῶν πρὸς κακουργίαν κωλυομένους ἐπαινεσόμεθα, οὓς ἀφίστησι τῆς τῶν κακῶν ἐνεργείας ὁ δεσμός, οὐχ ἡ γνώμη. Ἀλλ' ἀβιάστως, φησί, τὴν σάρκα ἡ θεότης προσάγεται· τὸ ἀβίαστον δηλαδὴ τὸ ἑκούσιον λέγει. πῶς οὖν ἄν τις ἐθελοντὴς τῇ ἀρετῇ προσαχθείη, θέλημα οἰκεῖον μὴ κεκτημένος; τὸ γὰρ προαιρεῖσθαι καὶ βούλεσθαι καὶ ἡ τοῦ συμφέροντος ἐκλογὴ καὶ ἡ τοῦ βλάπτοντος ἀποβολή, ταῦτα πάντα διανοίας ἐστί· τὸ δὲ διανοεῖσθαι τῶν ἀνοήτων οὐκ ἔστιν. εἰ οὖν ἀβιάστως τῷ θεῷ προσοικειοῦται ἡ σάρξ, μαρτυρεῖται παρὰ τούτων διὰ τοῦ λογογράφου μὴ ἀπροαίρετος εἶναι ἡ σὰρξ μηδὲ ἀκρίτως τε καὶ ἀνεπισκέπτως τοῦ λυσιτελοῦντος ἔχειν· τὸ δὲ τοιοῦτον οὐκ ἄν τις ἀλογίαν εἴποι. πῶς γὰρ ἂν γένοιτο ἐν τῷ ἀλόγῳ ὁ λόγος; ὥστε οὐ μόνον εἶναι τὸν νοῦν ἐν τῷ ἀνθρώπῳ δι'

VG V^cF v l 3 ἐκκείμενον G 5 φησι V^c, φῄς F 12 ὑποκρίσεως V^cF 14 μαρτυρεῖ correxi: μαρτύρεται VG v, μαρτυρεῖται V^cF 17 οὕτω G: οὕτως cet v 19 ἀλλὰ βιαστῶς VG 24 μεταβολὴ VG v πάντα ταῦτα V^cF 27 ἀπροαιρέτως V v 28 σχεῖν VG 30 τὸν: τὸ V

ὧν λέγει συντίθεται, ἀλλὰ καὶ ὑπὲρ τοὺς ἄλλους εἶναι. ἡ γὰρ ἑκούσιός τε καὶ ἀβίαστος πρὸς τὸ ἀγαθὸν ὁρμὴ μαρτυρία τῆς τοῦ νοῦ τελειότητος γίνεται. καὶ ὅτι διανοίας ἐστὶν ἡ πρὸς τὸ κρεῖττον οἰκείωσις, διὰ τῶν ἐφεξῆς εἰρημένων μάλιστα δείκνυται, οὑτωσὶ κατὰ τὴν λέξιν ἐχόντων· Μεταδιδόντος γάρ, φησί, τῆς καθαρᾶς ἀρετῆς παντὶ τῷ ὑποχειρίῳ νοῦ. εἰ οὖν ἐν τῷ νῷ θεωρεῖ τὴν τῆς ἀρετῆς καθαρότητα, πῶς ἐξοικίζει τῆς σαρκὸς ἐκείνης τὸν νοῦν, ἐν ᾗ τὴν καθαρότητα βλέπει; ἀνάγκη γὰρ ἓν ἐξ ἀμφοτέρων διημαρτῆσθαι τῷ λόγῳ, ἢ τὸ μεθεκτὴν εἶναι τοῦ νοῦ τὴν ἀρετὴν ἢ τὸ ἄνουν εἶναι τὴν σάρκα τὴν ἀβιάστως τῇ ἀρετῇ προσαχθεῖσαν.

Ὅσα δὲ προσέθηκε κατὰ τὸ ἀπρόσκολλόν τε καὶ ἀνακόλουθον, περιττὸν οἶμαι διεξετάζειν τοῦτον ἔχοντα τὸν τρόπον· Καὶ πᾶσι, φησί, τοῖς νοερῶς ὁμοιουμένοις Χριστῷ καὶ μὴ σαρκικῶς ἀνομοιουμένοις. τί γὰρ βούλεται ἡ τῶν εἰρημένων ναυτία, διδασκέτωσαν ταῦτα οἱ θαυμασταὶ τῆς ἀπάτης· ἡμεῖς δὲ πρὸς τὰ ἐφεξῆς τοῦ λόγου προέλθωμεν. Καὶ εἰ ἀνθρώπῳ, φησί, συνήφθη ὁ θεός, τέλειος τελείῳ, δύο ἂν ἦσαν, εἷς μὲν φύσει υἱὸς θεοῦ, εἷς δὲ θετός. ἡδέως ἂν μάθοιμι παρὰ τῶν τὰ τοιαῦτα πεπαιδευμένων, οἳ τὸν ἔννουν καὶ τέλειον ἄνθρωπον υἱὸν θετὸν λέγουσι, τὸν ἀνόητον ἄνθρωπον — οὕτω γὰρ πάντως τὸν μὴ ἔχοντα νοῦν ὀνομάζουσι — τί προσεροῦσιν; ὁ γὰρ μονογενὴς θεὸς αὐτὸς καθ' ἑαυτὸν ἀνελλιπὴς καὶ τέλειος ὢν τὴν τοῦ ἀληθινοῦ υἱοῦ προσηγορίαν ἔχει ἐπαληθευούσης τὴν κλῆσιν τῆς φύσεως· ἡ δὲ προσθήκη τοῦ ἡμιτελοῦς ἀνθρώπου ποῖον ὄνομα ἔχει; εἰ γὰρ ὁ τέλειος ἄνθρωπος θετὸς υἱὸς κατὰ τὸν
1221 M. Ἀπολινάριον λέγεται, καὶ ὁ ἡμιτελὴς ἄνθρωπος, καθ' ὃ ἄνθρωπος, ἡμίθετος δηλονότι υἱὸς καὶ οὗτος ὀνομασθήσεται, ἡμισεύων ἐφ' ἑαυτοῦ τὴν τοῦ θετοῦ κλῆσιν· ὥστε κυριώτερον εἰπεῖν ἐκεῖνον μὲν τέλειον τὸν θετὸν εἶναι, τοῦτον δὲ

VG V^c^F vl 6 νοῦ correxi: νῷ libri v 10 τοῦ νοῦ correxi: τῷ νῷ libri v 11 ἀρχῇ VG 12 ἀπρόσκολον V 19-20 ἓν - - ἓν - - F 21 τὰ om G οἳ VG: εἰ V^c^F v 26 τῇ κλήσει VG

ἥμισυν ἢ τὸ τριτημόριον λείποντα κατὰ τὸ βούλημα τῶν ταῖς τοιαύταις τομαῖς μιστυλλόντων τὸν ἄνθρωπον. ἀλλ' εἰ ἀνάρμοστόν ἐστι τῷ θεῷ τὸ θετὸν ἔχειν υἱόν, ὁμοίως πάντως καὶ ἐπὶ τοῦ τελείου καὶ ἐπὶ τοῦ ἀτελοῦς ἐστι τὸ ἀνάρμοστον· μᾶλλον δὲ καὶ πλέον ἐν τῷ ἠκρωτηριασμένῳ τὸ ἄτοπον. εἰ γὰρ αἰσχρόν τι καὶ ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως τὸ ἄρτιον τῆς ἀνθρωπίνης φύσεως ἐνομίσθη περὶ τὸ θεῖον βλεπόμενον, πολλῷ μᾶλλον αἰσχρὸν ἂν εἴη τὸ λελωβημένην περὶ αὐτὸν καθορᾶσθαι τὴν φύσιν. οὐ γὰρ ἐπειδὴ νοῦς οὐκ ἔστι, διὰ τοῦτο ἡ σὰρξ πρὸς τὴν τοῦ πατρὸς φύσιν οἰκείως ἔχει, ἀλλὰ τῆς μὲν τοῦ πατρὸς οὐσίας, ὁμοίως ..... ἄνθρωπος καὶ ὅλος καὶ τὸ μέρος κεχώρισται κατὰ τὸν τῆς φύσεως λόγον, καὶ οὐθέτερον τῶν ἐν ἡμῖν, οὔτε ὁ νοῦς οὔτε τὸ σῶμα, πρὸς τὴν ὑπερκειμένην φύσιν τῷ λόγῳ τῆς οὐσίας ᾠκείωται. κἂν οὐράνιόν τι σαρκὸς εἶδος ἀναπλάσῃ περὶ τὸ θεῖον ὁ μῦθος, οὐδὲν μᾶλλον διὰ τοῦτο ὁμοούσιον εἶναι τῷ θεῷ καὶ πατρὶ τὴν σάρκα ἐκείνην ὁ λελογισμένος συνθήσεται. εἰ δὲ ἠλλοτρίωται τῆς πατρικῆς οὐσίας ἡ σάρξ, πῶς ἂν εἴη υἱὸς τὸ ἀλλότριον; ἀνάγκη γὰρ πᾶσα τὸ ἀληθῶς ἔκ τινος ὂν ἐκεῖνο κατὰ τὴν οὐσίαν εἶναι ὅπερ ὁ γεννήσας ἐστίν. ἀλλὰ μὴν ὁ πατὴρ σὰρξ οὐκ ἔστιν· οὐδ' ἂν ὁ ἐξ ἐκείνου πάντως σὰρξ εἴη· τὸ γὰρ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα καὶ οὐχὶ σὰρξ εἶναι λέγεται. εἰ οὖν μὴ ἔστιν ἐκ τοῦ πατρὸς ἡ σάρξ, υἱὸς οὐκ ἔστιν. τί οὖν ὀνομασθήσεται; ὅπερ γὰρ ἂν τῇ οὐρανίᾳ ἐκείνῃ τῇ μυθοποιηθείσῃ παρὰ τοῦ λογογράφου ἐπινοήσωσιν ὄνομα, τοῦτο ἡμεῖς τῇ ἐξ ἀνθρώπων ἀναληφθείσῃ σαρκὶ κατὰ τὸ ἀκόλουθον ἐπιθήσομεν καί, ὅπερ ἂν τὸ ἡμέτερον ὀνομάσωσιν, τῷ αὐτῷ ὀνόματι κἀκεῖνο κληθήσεται.

22 Joh 3, 6

VG VᶜF v l 1 ἥμισυν ἢ τὸ τριτημόριον correxi (cf 215, 2): ἥμισυ ἤτοι τῷ τριτημορίῳ libri, ἤτοι om V v 2 τόλμαις VG μιστυλλευόντων libri v, correxi 6 αἰσχρόν VᶜG (cf 8 πολλῷ μᾶλλον αἰσχρὸν): ἀμυδρόν VG (litteris, ut vid, male scriptis vel intellectis) 11 post ὁμοίως lacunam statui, quam verbis δὲ καὶ τῆς τοῦ υἱοῦ οὐσίας explere temptavi 12 ante ἄνθρωπος add ὁ VᶜF 16 οὐδὲ VG 26/7 ἀναλειφθείσῃ libri v: corr Jaeger

οὐκ ἔστιν υἱὸς τὸ γήϊνον, οὐδὲ ἐκεῖνο πάντως. θετὸς υἱὸς τὸ γήϊνον, οὐκοῦν κἀκεῖνο. υἱῶν δυὰς ἐνταῦθα, κἀκεῖ πάντως. εἷς υἱὸς ἐν ἐκείνῳ ἡ σὰρξ καὶ ἡ θεότης, τοῦτο καὶ ὧδε. ἐπειδὴ γὰρ ὁμοίως ἀφέστηκε τῆς θείας οὐσίας ἡ κτίσις πᾶσα, τὸ μὲν ἔξω εἶναι τῆς τοῦ πατρὸς φύσεως τό τε γήϊνον καὶ οὐράνιον ἐπίσης συνωμολόγηται. λείπεται δὲ, ὅπερ ἂν τῷ σκοπῷ τῆς φιλανθρωπίας συμβαίνῃ, τοῦτο εὐλογώτερον περὶ τὸν θεὸν οἴεσθαι, ὄνομα δὲ αὐτῷ ἴδιον ἐφευρίσκειν μηδέν, ἀλλὰ τῷ πλεονάζοντι καὶ ἐπικρατοῦντι συνονομάζεσθαι, καθάπερ ἐπὶ τοῦ πελάγους γίνεται· εἰ γάρ τις στα-
1224 M. γόνα ὄξους ἐπιβάλοι θαλάττῃ καὶ ἡ σταγὼν θάλασσα γίνεται συμμεταποιηθεῖσα τῇ θαλασσίᾳ ποιότητι, οὕτως ὁ ἀληθινὸς υἱὸς καὶ μονογενὴς θεός, τὸ ἀπρόσιτον φῶς καὶ ἡ αὐτοζωὴ σοφία τε καὶ ἁγιασμὸς καὶ δύναμις καὶ πᾶν ὑψηλὸν ὄνομά τε καὶ νόημα — ταῦτα ὁ διὰ σαρκὸς φανερωθεὶς τοῖς ἀνθρώποις ἐστί· τῆς δὲ σαρκὸς τῇ ἰδίᾳ φύσει σαρκὸς οὔσης, μεταποιηθείσης δὲ πρὸς τὸ τῆς ἀθανασίας πέλαγος, καθώς φησιν ὁ ἀπόστολος ὅτι Κατεπόθη τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, συμμετεβλήθη καὶ πάντα τὰ κατὰ τὴν σάρκα τότε φαινόμενα πρὸς τὴν θείαν τε καὶ ἀκήρατον φύσιν· οὐ βάρος, οὐκ εἶδος, οὐ χρῶμα, οὐκ ἀντιτυπία, οὐ μαλακότης, οὐχ ἡ κατὰ τὸ ποσὸν περιγραφή, οὐκ ἄλλο τι τῶν τότε καθορωμένων οὐδὲν παραμένει, τῆς πρὸς τὸ θεῖον ἀνακράσεως εἰς τὰ θεϊκὰ ἰδιώματα τὸ ταπεινὸν τῆς σαρκώδους φύσεως ἀναλαβούσης. ὥστε κίνδυνός ἐστιν οὐδεὶς εἰς τετράδα ἡμῖν τὸν τῆς τριάδος λόγον πλατύνεσθαι, καθὼς ὁ Ἀπολινάριος λέγει, οὐδὲ τοὺς ἀγγέλους τῷ ἀνθρώπῳ δουλαγωγοῦμεν, ὡς ὁ ἐκείνου μῦθος καθ' ἡμῶν λέγει. οὐ γὰρ ἀνθρώπῳ δουλεύουσιν οἱ τῷ δεσπότῃ ἑαυτοὺς ὑποκύπτοντες οὐδὲ ἐπαισχύνονται προσκυνοῦντες τῷ διὰ σαρκὸς τῇ οἰκουμένῃ ἐπιδημήσαντι· Ὅταν γὰρ εἰσαγάγῃ τὸν πρωτότοκον, φησίν, εἰς τὴν

18 II Cor 5, 4   30 Hebr 1, 6

VG V^cF v l 5 γε V v   9 post ἐπικρατοῦντι add τι V^cF   11 ἐπιβάλοι corr Jaeger: ἐπιβάλῃ libri v   16 post σαρκὸς add ἐστ VG   17 ἀφθαρσίας V v   31 ὅτε v

οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες οἱ ἄγγελοι αὐτοῦ. μία δὲ εἴσοδος ἐπὶ τὴν οἰκουμένην ἡ διὰ τοῦ τόκου ἐστὶ καὶ οὐκ ἔστιν ἑτέρως ἐντὸς τοῦ βίου τῶν ἀνθρώπων γενέσθαι μὴ ταύτῃ τῇ εἰσόδῳ χρησάμενον. οὐκοῦν τὴν διὰ σαρκὸς αὐτοῦ γένεσιν εἴσοδον εἰς τὴν οἰκουμένην ὀνομάζει ὁ λόγος. εἰ οὖν εἰσελθόντι αὐτῷ εἰς τὴν οἰκουμένην πάντες προσκυνοῦσιν οἱ ἄγγελοι, ἡ δὲ εἴσοδος διὰ σαρκός ἐστι γένεσις, οὐχ ἡμεῖς δουλαγωγοῦμεν τῷ δεσπότῃ τὸ ἴδιον κτῆμα, ἀλλ' αὐτὴ τῶν ἀγγέλων ἡ φύσις οὐκ ἀγνοεῖ τὴν ὑπερκειμένην ἑαυτῆς δεσποτείαν, ὥστε σιγάτω προστιθεὶς ἐκεῖνα τῷ λόγῳ τὰ μάταια <ὅτι> τὰ ἄνω ποιοῦμεν κάτω, θεοφόρους ἀγγέλους θεοφόρῳ ἀνθρώπῳ καταδουλοῦντες.

Ἔτι πρὸς τούτοις φησίν· Εἰ ὁ θεὸν δεξάμενος θεός ἐστιν ἀληθινός, πολλοὶ ἂν εἶεν θεοί, ἐπειδὴ πολλοὶ δέχονται τὸν θεόν. τί οὖν καὶ πρὸς τοῦτο
1225 M. ἡμεῖς; ὅτι μὲν Ὁ θεὸς ἦν ἐν Χριστῷ, κόσμον ἑαυτῷ καταλλάσσων, ἱκανὸς εἰς μαρτυρίαν ὁ μέγας Παῦλος. εἰ δὲ διὰ τοῦτο οἴεται ὁ λογογράφος πλῆθος θεῶν παρ' ἡμῶν ἐπεισάγεσθαι τῷ κηρύγματι, ὅτι ὁμολογοῦμεν ἐν Χριστῷ τὸν θεὸν ἑαυτῷ καταλλάσσειν τὸν κόσμον, ὡς καὶ ἐν ἀνθρώποις τοῦ θεοῦ γινομένου, ταῦτα ἀποκρινούμεθα· εἰ πολλαὶ μητέρες παρθένοι καὶ πρὸς πολλὰς ἡ μυσταγωγία τοῦ Γαβριὴλ καὶ πρὸς ἑκάστην ἡ τοῦ ἁγίου πνεύματος ἐπέλευσις καὶ ἡ τῆς τοῦ ὑψίστου δυνάμεως παρουσία· καὶ εἰ περὶ πολλῶν οἱ προφῆται τὴν χάριν κηρύσσουσιν ὥστε πληθυντικῶς λέγειν· παιδία ἐγεννήθησαν ἡμῖν καὶ υἱοὶ ἐδόθησαν ἡμῖν καὶ αἱ παρθένοι ἐν γαστρὶ λήψονται καὶ τὰ ὀνόματα τῶν τεχθέντων πάντων Ἐμμανουήλ ἐστιν, εἰ πάντες πεζῇ τῶν κυμάτων ἐπιβατεύουσι καὶ τῇ ἀφράστῳ δυνάμει τὰς τοσαύτας χιλιάδας

17 II Cor 5. 19

VG V^{c}F v l 2 οἱ om V v 2 ἐπὶ VG v: εἰς V^{c}F 8 ante διὰ add ἡ G 11 προτιθεὶς libri v, correxi ὅτι inserui 21 αὐτῷ VG 22 ἀπολογούμεθα V v 25 περὶ om G 27 καὶ υἱοὶ ἐδόθησαν ἡμῖν om αἱ G, om V^{c}F

ἐπ' ἐρημίας τρέφουσιν αὔξοντες τῷ κόρῳ τὸν ἄρτον τὸν ἐν ταῖς χερσὶ τῶν μαθητῶν γεωργούμενον, εἰ πάντες νεκροὺς τετραημέρους ἐκ τῶν χωμάτων ἐγείρουσιν, εἰ πάντες ἀμνοὶ τοῦ θεοῦ γίνονται καὶ ὑπὲρ ἡμῶν πάσχα θύονται καὶ τῷ σταυρῷ προσηλοῦσι τὴν ἁμαρτίαν καὶ καταλύουσι τοῦ θανάτου τὸ κράτος καὶ εἰς ὀφθαλμοὺς τῶν μαθητῶν εἰς οὐρανοὺς ἀνατρέχουσι καὶ ἐν δεξιᾷ τοῦ πατρὸς καθέζονται, εἰ πάντες ἐλεύσονται κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ ἐν ὀνόματι πάντων ἡ τῶν ἐπουρανίων τε καὶ ἐπιγείων καὶ καταχθονίων γλῶσσα ἐξομολογεῖται, δώσομεν τὸ πολλοὺς εἶναι θεούς, εἴπερ ἐν τούτοις εἶεν οἱ πολλοὶ τοῖς γνωρίσμασιν. εἰ δὲ εἷς κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, καὶ Ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα, καὶ περὶ μόνον αὐτὸν ἡ τοιαύτη τῶν θεοπρεπῶν ὀνομάτων ἀπαρίθμησις, τίς κίνδυνος πολλοὺς ἀναπλασθῆναι θεούς, ὅταν λέγωμεν θεὸν διὰ σαρκὸς ἐμψύχου πεφανερῶσθαι; ὅτι γὰρ ἄνθρωπος τὸ φαινόμενον ἦν, τίς οὕτω τῶν εὐαγγελικῶν διδαγμάτων ἀνήκοος, ὡς ἀγνοεῖν τὸ παρ' αὐτοῦ τοῦ σωτῆρος πρὸς τοὺς Ἰουδαίους λεγόμενον· Νυνὶ δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; ὁρᾷς ἐν τοῖς λεγομένοις, τί τὸ ἀποκτεινόμενον ὁ λόγος ὑπέδειξεν εἰπών· Ζητεῖτέ με ἀποκτεῖναι; οὐ τὴν ἀλήθειαν, ἀλλὰ τὸν ἄνθρωπον, δι' οὗ ἐφθέγγετο ἡ ἀλήθεια. οὐ γὰρ ἄνθρωπος ἦν ὁ λαλῶν τὴν ἀλήθειαν· ἀλλὰ δηλονότι ὁ μὲν λαλῶν θεὸς ἦν, ὁ δὲ ἄνθρωπος ἐμεσίτευε πρὸς τοὺς ἀνθρώπους τῇ ἰδίᾳ φωνῇ τὸ λεγόμενον. δι' ὃ καὶ μεσίτης λέγεται θεοῦ καὶ ἀνθρώπων ὡς οὐ δυναμένης τῆς ἀνθρωπίνης φύσεως ἀκράτῳ προσμῖξαι τῇ τοῦ θεοῦ συνουσίᾳ καὶ διὰ τοῦτο δεομένης τῆς συγγενοῦς αὐτῇ καὶ κατὰ φύσιν φωνῆς, δι' ἧς εἰκὸς χωρεῖσθαι τὴν ἄνωθεν δύναμιν. καταλειπτέον καὶ τοῦτο, πρὸς δὲ τὸ ἐφεξῆς τρεπτέον τὸν λόγον.

8 Ps 9, 9   12 Rom 11, 36   19 Joh 8, 40   26 I Tim 2, 5

VG V^{c}F v l 6 ἐν ὀφθαλμοῖς V^{c}F   14 ὀνομάτων corr Jaeger: νοημάτων libri v   16 ἔμψυχον v   20 ὁρᾶν V   21 ὁ λόγος Jaeger: ὅλος libri ὅλως v (cf 196, 16; 212, 16-17; alia)   23 ἦν om G   26 λέγεται V^{c}F: γέγονε VG v   27 ἀνθρωπείας V^{c}F

1228 M. Οὐδέν, φησίν, οὕτως ἥνωται πρὸς θεὸν ὡς ἡ σὰρξ ἡ προσληφθεῖσα. ὢ τῆς περιεσκεμμένης αὐτοῦ ἀποφάσεως! οὐδὲν οὕτως ἥνωται πρὸς θεὸν ὡς ἡ σάρξ, οὐδὲ ἡ ἀγαθότης οὐδὲ ἡ ἀϊδιότης οὐδὲ ἡ ἀφθαρσία οὐδὲ τὸ ἐπὶ πάντων κράτος οὐδὲ ἄλλο τι τῶν θεοπρεπῶν νοημάτων, ἀλλὰ πάντα ταῦτα τῆς σαρκός ἐστι δεύτερα συγκρίσει τῇ πρὸς τὸν θεὸν καὶ τῇ πρὸς ταύτην τῆς τοῦ θεοῦ ἑνώσεως καὶ σαρκὸς τῆς ἐπικτηθείσης. ὁμολογεῖ αὐτὸ τοῦτο ὁ λογογράφος· ὁ γὰρ προσειλῆφθαι αὐτὴν εἰπὼν τὸ ἐπιγεννηματικὸν αὐτῆς ἐνεδείξατο.

Καὶ τοῦτο παραδραμούμεθα τὰ ἐφεξῆς ὡς αὐτόθεν ἔχοντα τὸν ἔλεγχον τῆς ἀσυστάτου μυθοποιΐας καὶ ἀβλαβῆ ὄντα τοῖς ἐντυγχάνουσι σιωπήσαντες· προθεὶς γὰρ τὸ μηδὲν ἄλλο τῶν ἐπὶ θεοῦ γενομένων οὕτως ἡνῶσθαι τῷ κυρίῳ, ὡς ἥνωται πρὸς αὐτὸν ἡ προσληφθεῖσα σάρξ, <ἐπεὶ> ἐπήγαγεν ἐν τῷ συμπεράσματι, ὅτι τὰ μὴ οὕτως ἡνωμένα οὐδ' οὕτω προσκυνητά, ἑτέραν ἐπιτίθησι κορωνίδα· Οὐδὲν δὲ οὕτως προσκυνητὸν ὡς ἡ σὰρξ τοῦ Χριστοῦ. ταῦτα ὡς καὶ παιδίοις γνώριμον ἔχοντα τὴν ἀτοπίαν μετὰ τῆς ἀνοίας σιωπησόμεθα. εἴποι γὰρ ἂν καὶ τὰ ταῖς ἀγοραῖς ἐγκαθήμενα παιδία καὶ παίζοντα ὅτι, εἰ μηδὲν οὕτως ἐστὶ προσκυνητὸν ὥσπερ ἡ σάρξ, ἄρα σεβασμιωτέρα ἐστὶν ἡ τοῦ Χριστοῦ σὰρξ καὶ αὐτῆς τῆς τοῦ πατρὸς μεγαλειότητος καὶ τῆς παντοδυνάμου ἐξουσίας καὶ τῆς πάντων ἀρχῆς καὶ εἴ τι ἄλλο χωρεῖ ἡ φύσις ἡμῶν περὶ τῆς θείας δυνάμεως φθέγγεσθαι, ὥστε καταλιπόντας τὸ προσκυνεῖν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον μόνην σέβεσθαι καὶ προσκυνεῖν τὴν παρὰ τούτου προτετιμημένην σάρκα καὶ ἐν ἐκείνῃ τὸ κατὰ πάντων τίθεσθαι κράτος. ὅμοιον δὲ τοῖς προαποδεδομένοις καὶ τὸ ἐφεξῆς ἐπιχείρημα· Ἡ σὰρξ τοῦ κυρίου, φησί, προσκυνεῖται, καθὸ ἕν ἐστι πρόσωπον καὶ

VG V^{c}F v l 4 παιδιότης VG 8 ἐπικτισθείσης V^{c}F ante ὁμολογεῖ add ὡς V^{c}F 11 τοῦτο V^{c}F l: om VG v 13 προθεὶς V^{c}F v: πρόθεσις VG 14 ἐπὶ VG v: περὶ V^{c}F 15 ἐπεὶ addidi 20 ἐννοίας σιωπησώμεθαι v, σιωπησόμεθα ex σιωπησώμεθα corr VG τὰ om V v 28 ἐν om VG v

ἓν ζῷον μετ' αὐτοῦ. δύο μνημονεύσας πραγμάτων, κυρίου καὶ σαρκὸς κυρίου, ἓν ζῷον τὰ δύο ἐποίησεν. νῦν ἀποκαλύπτει σαφῶς τὸ ἐν τῇ ἐπιγραφῇ τοῦ λόγου δηλούμενον, ἐν ᾗ διδάσκειν κατεπαγγέλλεται περὶ τῆς θείας σαρκώσεως τῆς καθ' ὁμοίωσιν ἀνθρώπου· ἐπειδὴ γὰρ ψυχῆς σώματι συνδραμούσης ἐκ τῆς τῶν ἑτερογενῶν τούτων μίξεώς τε καὶ κοινωνίας συνίσταται ἡ ἀνθρωπίνη ζωὴ καὶ οὐκ ἄν τις ἄλλο τι τὴν σύστασιν ἡμῶν ὁρίσαιτο πλὴν σώματος καὶ ψυχῆς κοινωνίαν, τοῦτο αὐτὸ καὶ περὶ τὴν θείαν φύσιν 229 M. φαντασθεὶς ὁ λογογράφος εὐθύς ἔν τε τῇ ἐπιγραφῇ τοῦ λόγου διδάσκειν κατεπαγγέλλεται, ὅτι καθ' ὁμοίωσιν ἀνθρώπου καὶ τὸ θεῖον ἐν σαρκὶ θεωρεῖται, καὶ νῦν ἐν τῷ μέρει τούτῳ τοῦ λόγου σαφῶς κατασκευάζει, ὅτι ἕν ἐστι πρόσωπον καὶ ζῷον ἓν ἥ τε σὰρξ καὶ ὁ κύριος, ὡσανεὶ λέγοι Παῦλον τὸν αὐτὸν εἶναι τῷ κρυπτῷ τὸν φαινόμενον διὰ τὴν τοῦ σώματος πρὸς τὴν ψυχὴν συμφυΐαν. τί οὖν ἄρα ἐπεξιέναι προσήκει τοῖς εἰρημένοις καὶ ἀντιμάχεσθαι; καὶ πῶς οὐκ ἄν τις ἡμᾶς ἀφραίνειν κατῃτιάσατο τοῖς παρεξευρημένοις τῶν νοημάτων ἐνισταμένους; οὐκοῦν τὸ μετὰ τοῦτο κατανοήσωμεν. Εἰ μηδέν, φησί, ποίημα προσκυνητὸν μετὰ τοῦ κυρίου ὡς ἡ σὰρξ αὐτοῦ. τίς ἀγωνοθετήσει περὶ τῶν ἐν ἀσεβείᾳ πρωτείων ἀγωνιζομένῳ τῷ Ἀπολιναρίῳ πρὸς τὸν Εὐνόμιον; τίς ἄρα τῶν ἀριστείων ἐν τοῖς κατὰ τῆς ἀληθείας ἱδρῶσιν ἀξιωθήσεται; τάχα ἄκριτος ἐπ' ἀμφοτέρων ἡ νίκη τῷ ἀμφηρίστῳ καὶ ἰσοπαλεῖ τῆς ἀσεβείας καταλειφθήσεται. ὁ μὲν γὰρ ποίημα τὸν μονογενῆ θεὸν λέγων νοερόν τε αὐτὸν καὶ ἔξω τῆς ἀντιτύπου φύσεως εἶναι οὐκ ἀπομάχεται· οὗτος δὲ σύνθετον ἐξ ἀρχῆς αὐτὸν ἐξ ἑτεροφυῶν ἀναπλάσας, ἐκ σαρκός τε καὶ θεότητος συγκεκροτημένον, ἓν εἶναι ζῷον κατασκευάζει καθ' ὁμοίωσιν τῆς ἀνθρωπίνης φύσεως.

VG V^cF v l 1 πραγμάτων VG v: σωμάτων V^cF 7 ἄν τις om V 12 τούτῳ correxi: τούτου libri v 13 λογογράφου V 15 τὸν: τὸ VG 16 ἐπιεξιέναι G 22 ἀγωνιζομένων G 25 ἀμφορίστω V 26 θεοῦ V 28 οὗτος V^cF l: αὐτὸς VG v 30 καθ' ὁμοίωσιν om VG

ἡ μὲν γὰρ τοῦ ποιήματος προσκύνησις ἐπ' ἀμφοῖν ἴση· ἀλλ' ἐκεῖνος μὲν τὴν νοεράν τε καὶ ἀσώματον φύσιν πεποιῆσθαί φησιν· οὗτος δὲ προστίθησι καὶ τὸ σαρκώδη φύσιν εἶναι περὶ τὸ ποίημα καὶ ταύτην προσκυνεῖσθαι πλέον τῶν λοιπῶν ποιημάτων ὡς καὶ ἄλλοις ποιήμασι προσαγομένης τῆς προσκυνήσεως, ὃ καὶ τοῖς τὰ Εὐνομίου πρεσβεύουσιν ἀσεβὲς εἶναι ὁμολογεῖται. οὐκοῦν ἐχέτω κατὰ τοῦ Εὐνομίου τὰ νικητήρια καὶ ἐπαγαλλέσθω τοῖς τῆς ἀσεβείας στεφάνοις καλλωπιζόμενος· ὅσῳ γὰρ ἐν τῇ ἀνθρωπίνῃ φύσει τῆς ψυχῆς τὸ σῶμα καταδεέστερον, τοσοῦτον ἐν τοῖς τὰ ποιήματα προσκυνοῦσιν ὁ τὴν σάρκα προσκυνεῖν νομοθετῶν τῶν τὸ νοερὸν ποίημα σεβομένων ἐν τῷ λόγῳ τῆς ἀσεβείας ἐστὶν ἀτοπώτερος, καὶ μάλιστα, εἰ καὶ ἄλλα προσκυνεῖσθαι ποιήματα λέγοι, ὧν τὸ πλέον ἡ σὰρξ διὰ συγκρίσεως κατὰ τὴν προσκύνησιν ἔχει· Οὐδὲν γάρ, φησί, ποίημα προσκυνητὸν ὡς ἡ σὰρξ τοῦ κυρίου. πάντα μὲν γὰρ ἐπίσης κάτω τῆς θείας ἐστὶ δυνάμεως, ὅσαπερ ἐν τῇ κτίσει καταλαμβάνεται, κἂν ἀσώματον ᾖ κἂν μετὰ σώματος. ἀλλ' ἔχει πρὸς ἑαυτὴν ἡ κτίσις διὰ συγκρίσεως ὑπερβολὴν καὶ ἐλάττωσιν, τῆς τῶν ἀσωμάτων φύσεως προτερευούσης παρὰ τὴν αἰσθητήν τε καὶ σωματώδη κατάστασιν. ὥστε καθὸ μὲν τῷ ποιήματι λατρεύειν οἴονται δεῖν Εὐνόμιός τε καὶ Ἀπολινάριος, ἰσοπαλεῖς ἐν τῷ λόγῳ τῆς ἀσεβείας εἰσὶ καὶ ἀμφήριστοι· ὁ δὲ τῇ σαρκὶ παρὰ τὴν νοερὰν φύσιν τὰ πρωτεῖα νέμων τὸ πλέον εἰς ἀσέβειαν ἔχει. ἀκουσάτωσαν οἱ μαθηταὶ τῆς ἀπάτης πρὸς τίνα τῷ διδασκάλῳ αὐτῶν καὶ περὶ τίνων ἡ ἅμιλλα.

1232 M. Ἴδωμεν δὲ καὶ τὴν ἐφεξῆς ἀλυκτοπέδην, κατ' αὐτὸν εἰπεῖν τὸν Ἀπολιναρίου διδάσκαλον, ἣν ταῖς ἀλύτοις σειραῖς τῶν συλλογισμῶν διασφίγξας προτείνεται. Εἰ ἄνθρωπον, φησίν, οἴεταί τις ἑνοῦσθαι θεῷ παρὰ πάντας ἀνθρώπους καὶ ἀγγέλους. ἄρα χρὴ καὶ τὴν ἐν τούτοις

27 Hes Theog 521 28 Epiphanio sophista, magistro Apolinarii, cf Socr hist eccl II 46, 4 et 5; propter 'μικρολογίαν καὶ περιττὴν ἀκρίβειαν Epiphanius ab Prohaeresio vituperatur apud Eunap vit soph p 491, 47-52 Boiss

VG VᶜF v l 8 ἐπαγαλλιάσθω V 17 κάτω VᶜF v: κατὰ τὸ VG 20 προπορευούσης V 29 διασφήγξας V

διεξετάζειν διάνοιαν. ἀλλ' ὅμοιον ἂν εἴη ψυχὴν ἐν λίθῳ ζητεῖν καὶ ἐν ξύλῳ φρόνησιν καὶ ἐν τοῖς ἐκτεθεῖσι ῥήμασιν ἔμφασίν τινος ἐνθυμήσεως, οὐ λέγω τῆς κρείττονος, ἀλλὰ τῆς γοῦν εἰς τὸ ἀσεβὲς συντελούσης· μᾶλλον δ' ἂν ἐκ τῆς συμφράσεως μαρτυρηθείη τὸ τῶν λεγομένων ἀδιανόητον. Ποιήσει μὴ αὐτεξουσίους τοὺς ἀγγέλους καὶ τοὺς ἀνθρώπους ὡς οὐδὲ ἡ σὰρξ αὐτεξούσιος. φθορὰ δὲ τοῦ αὐτεξουσίου ζῴου τὸ μὴ εἶναι αὐτεξούσιον· οὐ φθείρεται δὲ ἡ φύσις ὑπὸ τοῦ ποιήσαντος αὐτήν· οὐκ ἄρα ἑνοῦται ὁ ἄνθρωπος θεῷ. βαβαὶ τῆς ἀνάγκης! ὡς ἄλυτοι τῶν συλλογισμῶν αἱ πλεκτάναι! ἀφαιρεῖται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων τὸ αὐτεξούσιον ἡ πρὸς τὸ θεῖον ἕνωσις καὶ φθορὰ τοῦ αὐτεξουσίου ζῴου τὸ μὴ εἶναι αὐτεξούσιον γίνεται, καὶ εἰ ταῦτα τεθείη, ἀποδείκνυται τὸ μὴ ἑνοῦσθαι ἄνθρωπον θεῷ. τί τοιοῦτον οἱ ἐγγαστρίμυθοι, τί δὲ οἱ ἐκ γῆς φωνοῦντες καὶ ἐγκαρδίους μαντείας πεπαιδευμένοι παραπλήσιον τούτοις ἀποφοιβάζουσιν; ἀφαιρεῖται τῶν ἀνθρώπων καὶ τῶν ἀγγέλων ἡ αὐτεξουσιότης, ἐὰν ἑνωθῇ τῷ θεῷ τὸ ἀνθρώπινον. μὴ οὐκ ἦν ἄνθρωπος ὁ εἰπὼν Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; μὴ οὐκ ἀνεκράθη τῇ θείᾳ φύσει ὁ πᾶσαν τὴν θεϊκὴν δύναμιν ἐν ἑαυτῷ δεικνὺς κατ' ἐξουσίαν ἐνεργῶν ὅπερ ἐβούλετο; εἰ μὲν οὖν οὐκ ἐγένετο τοῦτο ἐν ἐκείνῳ καὶ ἐν τούτῳ ἐκεῖνο, παραγραφέσθω τὴν εὐαγγελικὴν μαρτυρίαν, ψεύδους πάντως καὶ ὁ Παῦλος ἁλώσεται καὶ οἱ προφῆται καὶ πάντες οἱ τὰ θαύματα περὶ τοῦ κυρίου προκαταγγέλλοντες καὶ οἱ τὰ μετὰ ταῦτα γεγονότα διηγησάμενοι. εἰ δὲ ἀληθῶς γέγονε τοῦτο καὶ θεὸς ἐφανερώθη ἐν σαρκὶ καὶ ἡ σὰρξ ἡ ἀνακραθεῖσα τῇ θείᾳ φύσει ἓν πρὸς ἐκείνην ἐγένετο, ἄρα κατὰ τὸν ποιητικὸν μῦθον ἀπόλωλε τῇ ἀνθρωπίνῃ φύσει τὸ αὐτεξούσιον καὶ κατεδουλώθησαν

19 Joh 8, 40

VG V^c^F v l 4 δ' ἂν V^c^F: δὲ VG v 6 αὐτεξουσίως VG 7 αὐτεξουσίως VG 15 τιθείη v 19 ἡνώθη VG v 22 ὁ πᾶσαν V^c^F v: ἅπασαν VG 24 καὶ ἐν τούτῳ ἐκεῖνο in marg V^c^F: om VG v

<οἱ> ἄγγελοι, ἐπειδὴ τοῦτο ἐγένετο, ζημιωθέντες τοῦ αὐτεξουσίου τὴν χάριν. ὢ τῆς παραλόγου καινοφωνίας! οἵα δὲ καὶ ἡ ἐπαγωγὴ τὸ λέγειν· Φθορὰ δὲ τοῦ αὐτεξουσίου 1233 M. ζῴου ἐστὶ τὸ μὴ εἶναι αὐτεξούσιον. ἄρα οὐκ ἀριθμεῖ τὸ οἰκετικὸν ἐν τοῖς ζῴοις, ὅτι μὴ αὐτεξουσίως οἰκονομεῖται παρὰ τὸν βίον τῇ ἐπικρατούσῃ δυναστείᾳ δεδουλωμένον; ἐν γὰρ τῷ αὐτεξουσίῳ τὸ ζῷον εἶναί τινα ὁ λογογράφος ὁρίζεται· ᾧ δὲ μὴ πάρεστιν ἡ αὐτοκρατὴς τοῦ θελήματος κίνησις, μηδὲ ζῷον οἴεσθαι τοῦτον εἶναι νομοθετεῖ. οὐκοῦν νεκρὸς ἦν ἐκεῖνος ὁ Χαναάν, ὅτε τοῖς ἀδελφοῖς διὰ τὴν ἀταξίαν κατεδουλώθη, νεκρὸς ὁ οἰκέτης τοῦ Ἀβραάμ, νεκρὸς Γιεζὶ τὸ τοῦ Ἐλισσαίου παιδάριον, καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις νεκρὸς ὁ Ὀνήσιμος, νεκροὶ πάντες οἱ ἑκατοντάρχαι δουλεύοντες. καὶ τί ταῦτα λέγω; τεθνᾶσι πάντες οἱ ὑπεζευγμένοι ταῖς τῶν κρατούντων ἀρχαῖς, ἐν οἷς κωλύεται τὸ αὐτεξούσιον βούλημα. ἀλλὰ καὶ οἷς ὁ Παῦλος νομοθετεῖ ταῖς ὑπερεχούσαις ἐξουσίαις ὑποτάσσεσθαι, νεκροὶ πάντως εἰσί, κἂν ψυχαὶ ὦσι, τῇ ἀπουσίᾳ τοῦ αὐτεξουσίου φθαρέντες καὶ μηκέτι ζῷα εἶναι δυνάμενοι. τοῦτο γὰρ κελεύει τοῦ Ἀπολιναρίου ὁ μῦθος, ἵνα τὴν ἄψυχον ἐκείνην σάρκα συζεύξῃ τῷ ἐπὶ πάντων θεῷ, εἴτ' οὖν ἄψυχον εἴτ' οὖν ἀνόητον· πρὸς ἀμφότερα γὰρ ἐπίσης ὁ μῦθος βλέπει. ἀλλὰ τὸ μὲν ἄψυχον νεκρός ἐστι· τὸ δὲ δίχα διανοίας ἔμψυχον κτῆνός ἐστιν, ὅπερ οὐδὲ αὐτὸς οὗτος ἀποφεύγει ὡς ἄτοπον, ἀφαιρούμενος τῆς σαρκὸς ἐκείνης τὸ αὐτεξούσιον· τῶν γὰρ ἀλόγων ἴδιον τὸ μὴ ἐφ' ἑαυτῶν εἶναι, ἀλλ' ὑποτετάχθαι τῇ τοῦ ἀνθρώπου ἀρχῇ.

Ἀλλ' ἐάσθω καὶ ταῦτα, πρὸς δὲ τὰ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν· λέξω δὲ τῇ ἐμαυτοῦ φωνῇ τὴν τοῦ ἐναντίου

10 Gen 8, 25 11 Gen 24, 2 IV Regn 4, 25 13 Philem 10 16 Rom 13, 1

VG VᶜF v l 1 οἱ addidi ζημειωθέντες VᶜF 2 κενοφωνίας VᶜF 4 ζῴου ἐστὶ τὸ μὴ εἶναι αὐτεξούσιον in marg VᶜF: ἐστι G, ἐγένετο V (F) 12 γιεζῆ G 14 ante πάντες add γὰρ G 19-20 ὁ Ἀπολιναρίου μῦθος v

διάνοιαν συντομίας χάριν. ἐκ τριῶν εἶναι τὸν ἄνθρωπόν φησι, πνεύματος καὶ ψυχῆς καὶ σώματος, ὡς καὶ τοῦ ἀποστόλου τοῦτο διὰ τῆς πρὸς Θεσσαλονικεῖς ἐπιστολῆς δογματίζοντος, καὶ ἐπάγει τῆς ὑμνῳδίας τῶν τριῶν παίδων τοῦτο τὸ μέρος τὸ Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων· εἶτα καὶ τὸ ἐν πνεύματι φησὶ λατρεύειν τῷ κυρίῳ· καὶ τὴν τοῦ εὐαγγελίου φωνὴν παρατίθεται, δι' ἧς διδασκόμεθα τοὺς προσκυνοῦντας θεῷ ἐν πνεύματι δεῖν προσκυνεῖν. ταῦτα διεξελθὼν προστίθησιν εἶναί τι παρὰ τοῦτο, τὴν σάρκα τὴν ἀντιστρατευομένην τῷ πνεύματι· ταύτην δὲ οὐκ ἄψυχον λέγει, ὡς διὰ τούτου δείκνυσθαι τρίτον εἶναι τὸ πνεῦμα παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα. Εἰ οὖν ἐκ τριῶν, φησίν, ὁ ἄνθρωπος, ἄνθρωπος δὲ καὶ ὁ κύριος, ἐκ τριῶν πάντως ἐστὶ καὶ ὁ κύριος, πνεύματος καὶ ψυχῆς καὶ σώματος. ἵνα τοίνυν τὸ διημαρτημένον αὐτοῦ τῆς περὶ τῶν θείων γραφῶν ὑπολήψεως γένηται δῆλον, ἐν ὀλίγῳ τὰ καθ' ἕκαστον τῶν εἰρημένων διαληψόμεθα. καὶ πρῶτόν γε τὸ ἀποστολικὸν ἐξετάσωμεν.
1236 M. οὐ γὰρ τὸν ἄνθρωπον τρισὶ τμήμασι καταμερίζων ὁ Παῦλος κατά γε τὸν ἡμέτερον λόγον τοῖς Θεσσαλονικεῦσιν ἐκεῖνα γράφει, ὁλοτελῶς αὐτοὺς ἁγιασθῆναι εὐχόμενος τῷ κυρίῳ, ἐν σώματι καὶ ψυχῇ καὶ πνεύματι· ἀλλά τίς ἐστι φιλοσοφία περὶ τῆς κατὰ τοῦτον τὸν βίον προαιρέσεως διαφόρως ὑψηλοτέρα, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν οἷς πρὸς τοὺς Κορινθίους ποιεῖται τὸν λόγον. οἶδε γὰρ ἐκεῖ τινα σάρκινον ἄνθρωπον καὶ πνευματικὸν πάλιν ἕτερον καὶ διὰ μέσου τῶν δύο τὸν ψυχικόν· τὸν μὲν ἐμπαθῆ καὶ ὑλώδη σάρκινον προσαγορεύων, τὸν δὲ μὴ βαρούμενον τῷ ἐφολκίῳ τοῦ σώματος ἀλλ' ἐν τοῖς ὑψηλοῖς τὴν διάνοιαν ἔχοντα πνευματικὸν ὀνομάζων, τὸν δὲ μηθέτερον ἀκριβῶς ὄντα καὶ

5 Dan 3, 86 6 Rom 1, 9 7 Joh 4, 23 20 I Thess 5, 23 25 I Cor 3, 1; 15, 44

VG VᶜF v l 3 θεσαλονικεῖς G (semper) 4 συνῳδίας VᶜF (cf Dan 3, 51 οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, cf 211, 19) 8 θεὸν VᶜF 9 ante εἶναι add τὸ ἕτερον VᶜF l 11 τοῦτο VG 30 ἀκριβώσαντα VᶜF

πρὸς ἑκάτερον ἔχοντα τὴν κοινωνίαν ψυχικὸν ἀποκαλῶν. ταῦτα δὲ λέγων οὔτε τὸν σάρκινον τῆς κατὰ τὸν νοῦν ἢ τὴν ψυχὴν ἐνεργείας ἐστερῆσθαι λέγει οὔτε τὸν πνευματικὸν τῆς πρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν συμπλοκῆς ἀλλότριον δείκνυσιν οὐδὲ τὸν ψυχικὸν ἢ ἄνουν ἢ ἄσαρκον ὑποτίθεται, ἀλλ᾽ ἐκ τοῦ πλεονάζοντος τὰς ἐπωνυμίας ταῖς προαιρέσεσι τίθεται. Ὅ τε γὰρ ἀνακρίνων τὰ πάντα καὶ ὑπ᾽ οὐδενὸς ἀνακρινόμενος καὶ ἔνσαρκός ἐστι καὶ ἔμψυχος καὶ πνευματικὸς ὀνομάζεται· καὶ ὁ κατὰ τῆς εὐνῆς τῆς πατρῴας τῷ τῆς σαρκὸς πάθει λυσσήσας οὔτε ἄψυχος ἦν οὔτε διανοίας κεχώριστο· ὡσαύτως δὲ καὶ ὁ μέσως ἔχων τοῦ τε ἐπαινετοῦ καὶ τοῦ κατεγνωσμένου ἐν ἑκατέροις ἐστὶ καὶ νοῦν ἔχων ἐν ἑαυτῷ καὶ τὴν φύσιν τῆς σαρκὸς περικείμενος. ἀλλά, καθὼς εἴρηται, πρὸς τὰ φαινόμενα τοῦ βίου γνωρίσματα τῆς προσηγορίας κυρίως ἐφαρμοζούσης οἱ μὲν ἀπολαυστικοί τε καὶ φιλήδονοι καὶ πρὸς τὰς ἐριστικὰς φιλονεικίας ἐκθύμως ἔχοντες σάρκινοι λέγονται· οἱ δὲ τὰ πάντα μὲν ἀνακρίνοντες, αὐτοὶ μηδεμίαν παρέχοντες τοῖς βουλομένοις ἀνακρίσεως λαβὴν διὰ τὸ ὑψηλὸν τῆς πολιτείας πνευματικοὶ ὀνομάζονται· ψυχικὸν δὲ τὸν μεταξὺ τούτων ἑστῶτά φησιν, ὃς τοσοῦτον ὑποβέβηκε τοῦτον, ὅσον ἐκείνου ὑπερανέστηκεν. ἐπειδὴ τοίνυν βούλεται τὸν δι᾽ ἀρετῆς τελειούμενον μὴ μόνον ἐν τῷ ὑψηλῷ μαρτυρεῖσθαι βίῳ, ἀλλὰ κἄν τι τῶν σωματικῶν ἐνεργῇ πρὸς θεὸν βλέπειν, κἄν τι τῶν μέσων, μηδὲ οὕτως τοῦ θεοῦ ἀπολείπεσθαι. (Εἴτε γὰρ ἐσθίετε, φησίν, εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε, ὡς καὶ <διὰ> τῶν σωματικῶν ἀσχολημάτων τοῦ σκοποῦ τῆς θείας δόξης μὴ ἀποπίπτειν.) διὰ τοῦτο τοῖς Θεσσαλονικεῦσιν ἤδη διὰ πάντων πρὸς τὸ κρεῖττον ὑπειλημμένοις ὁλοτελῆ τὸν ἁγιασμὸν διὰ τῆς εὐλογίας χαρίζεται εἰπών· Ὁ δὲ θεὸς ἁγιάσει ὑμᾶς ὁλοτελεῖς καὶ ὁλόκληρον ὑμῶν τὸ σῶμα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα,

7 I Cor 2, 15 9 I Cor 5, 1 25 I Cor 10, 31 28 I Thess 5, 23

VG VᶜF v l 11 μέσος v 20 τὸν: τὸ VG 21 τούτου V v 25 τι om V 26 διὰ add Zacagni v: om libri

τουτέστι πᾶν τὸ σωματικὸν καὶ ψυχικὸν καὶ πνευματικὸν ἐπιτήδευμα, πρὸς ἁγιασμὸν βλέποι. οὗτος ὁ ἡμέτερος λόγος. 1237 M. εἰ δέ φησιν ὁ Ἀπολινάριος διὰ τούτου ἰδίως τὸν νοῦν εὐλογεῖσθαι καὶ τὸ σῶμα πάλιν καὶ τὴν ψυχὴν ἰδιαζόντως διαστεῖλαι τῆς ἐφ' ἑκάστου τούτων εὐλογίας τὴν δύναμιν, πῶς ὁλόκληρον τὸ σῶμα φυλάσσεται τὸ πάντῃ καὶ πάντως ἐν τῷ θανάτῳ διαπεσούμενον; πῶς ὁλόκληρον τὸ δι' ἐγκρατείας ὑποπιεζόμενόν τε καὶ ῥικνούμενον καὶ διὰ τῆς σκληροτέρας δουλαγωγίας σαθροποιούμενον; πῶς ἄν τις εἴποι τὸν πτωχὸν ἐκεῖνον Λάζαρον μὴ διημαρτηκέναι τῆς εὐλογίας τοῖς τοιούτοις ἕλκεσι βρύοντα καὶ διὰ τῶν ἰχώρων ἐκδαπανώμενον; ἀλλά, κἂν παράδοξον εἰπεῖν, ἐν ἐκείνῳ τῷ σώματι τῷ διερρυηκότι τοῖς ἕλκεσιν ἐντελὴς ἦν ἡ εὐλογία τοῦ Παύλου· ὁλόκληρον γὰρ αὐτοῦ τὸ σῶμα τῇ ψυχῇ διὰ τῆς πνευματικῆς πολιτείας συνδιεσώθη, ὅτι οὐ κατεσπάσθη ταῖς τῆς σαρκὸς ἀνάγκαις ἀπὸ τῆς ὑψηλοτέρας ἐλπίδος εἴς τι τῶν ἀπρεπῶν νοημάτων· οὐ γὰρ παρέσχεν ἡ σὰρξ τῇ ψυχῇ περισπασμὸν οὐδὲ ἐπεθορυβεῖτο τοῖς πάθεσι τοῖς σωματικοῖς ἡ διάνοια.

Ἥ τε τῶν τριῶν ὑμνῳδία παίδων πνεύματα καὶ ψυχὰς δικαίων πρὸς κοινωνίαν τῆς δοξολογίας παραλαμβάνουσα οὐκ ἰδίᾳ τὰς ψυχὰς αἰνεῖν διακελεύεται καὶ ἰδίᾳ τῶν ψυχῶν τὰ πνεύματα, καθὼς ὁ Ἀπολινάριος οἴεται. τίς γὰρ ἂν γένοιτο τῆς ψυχῆς ἰδιάζων αἶνος μὴ διὰ τῆς διανοίας πληρούμενος; ψυχὴ γὰρ διανοίας κεχωρισμένη, καθὼς ἤδη πολλάκις εἴρηται, κτῆνός ἐστι τῆς λογικῆς τε καὶ διανοητικῆς ἐνεργείας ἀμέτοχον. τί οὖν ἄρα τὸν νοῦν, καθὼς οὗτός φησιν, ἀποχωρίζει τῆς ψυχῆς ἡμῶν; δεδόσθω δυνατὸν εἶναι παρὰ τῶν πνευμάτων πληροῦσθαι τὸν αἶνον τῷ θεῷ, διότι νοῦν εἶναι λέγει τὰ πνεύματα. εἰ δὲ τὴν ψυχὴν ἄλλο τι παρὰ τὸν νοῦν οἴεται, πῶς αἰνέσει τὸν θεὸν ὁ ἀνόητος; τίς ἐξ ἀνοίας ἀρέσει τῷ θεῷ ὑμνῳδία; τίς δ' ἂν ἔτι χρεία γένοιτο τοῦ νοῦ τῇ ψυχῇ,

10 Luc 16, 20 13 I Thess 5, 23 19 Dan 3, 86

VG V^c F v l 5 διαστείλῃ V^c 15 διεσώθη V 18 τοῖς pr om v 22 ὁ om G 23 διὰ om V^c F 27 γρ καὶ ὑμνωδία supra ἡμῶν V^c F (cf 31) 30 ἁρμόσει VG 31 ὑμνωδίαν G

εἴπερ ἐπὶ τῆς θείας δοξολογίας αὐτάρκης εἴη καθ' ἑαυτὴν ὑμνῳδοῦσα καὶ μηδὲν τῆς τοῦ νοῦ συνεργίας προσδεομένη; ἀλλ' οὐ ταῦτα παρὰ τῶν ἐξηγησαμένων ἡμῖν μεμαθήκαμεν. ἀλλ' ἐπειδὴ ἰσάγγελοί εἰσιν αἱ ψυχαὶ τῶν σωματικῶν λυθεῖσαι δεσμῶν, καθὼς ὁ κύριος λέγει, διὰ τοῦτο τῇ μετὰ τῶν πνευμάτων συζυγίᾳ τὴν πρὸς τοὺς ἀγγέλους τῶν ψυχῶν ὁμοτιμίαν ὁ λόγος ἐνδείκνυται· πνεύματα γὰρ οἱ ἄγγελοι κατὰ τὸν εἰπόντα προφήτην· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, μεθ' ὧν ὑμνῳδεῖν οἱ τρεῖς παῖδες καὶ τὰς τῶν δικαίων ἀξιοῦσι ψυχάς. ὁ δὲ σωτὴρ λέγων ἐν πνεύματι δεῖν προσκυνεῖν τὸν θεὸν οὐ τὸν νοῦν δηλοῖ τῇ προσηγορίᾳ τοῦ
1240 M. πνεύματος, ἀλλὰ τὸ μὴ δεῖν σωματικάς τινας περὶ τὸ θεῖον τὰς ὑπολήψεις ἔχειν. ἐπειδὴ γὰρ ἡ Σαμαρεῖτίς φησι πρὸς τὸν κύριον ἐν τῷ ὄρει δεῖν προσκυνεῖν τὸν θεὸν ὡς ἐν περιγεγραμμένῳ τῷ τόπῳ, ὅπερ οὐκ ἔξω τῆς σωματικῆς ὑπονοίας ἐστί, διὰ τοῦτό φησι πρὸς τὴν πεπλανημένην ἐκ τῆς ἀληθείας ὁ λόγος, ὅτι πνεῦμα ὁ θεός, τουτέστιν ἀσώματος, καὶ τοὺς προσκυνοῦντας αὐτὸν μὴ σωματικῶς δύνασθαι προσεγγίζειν τῷ ἀσωμάτῳ, ἀλλ' ἐν πνεύματι καὶ ἀληθείᾳ πληροῦν τὴν προσκύνησιν. ἀντιδιαστέλλει γὰρ τὰς διορθωτικὰς φωνὰς ταῖς διπλαῖς ἀγνοίαις, τὴν μὲν ἀλήθειαν τῷ τόπῳ, τὸ δὲ πνεῦμα ἀντιδιαιρῶν ταῖς σωματικαῖς ὑπολήψεσιν. τούτου χάριν καὶ ὁ Παῦλος οὔτε ἐν τόπῳ οὔτε ἐν σώματι, ἀλλ' ἐν πνεύματι λατρεύειν φησὶ τῷ κυρίῳ τῇ ἀληθείᾳ ἑπόμενος. τὸ δὲ λέγειν ὅτι Ἡ σὰρξ τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, αὐτόθεν ἔχει τῆς τοῦ δόγματος αὐτῶν ἀπάτης τὸν ἔλεγχον· τὸ γὰρ ἀντιστρατεύεσθαι καὶ αἰχμαλωτίζειν καὶ μὴ ὑποτάσσεσθαι καὶ πάντα τὰ τοιαῦτα προαιρέσεώς ἐστιν ἐνεργήματα.

5 Luc 20, 36 8 Ps 103, 4 10 Joh 4, 23 13 Joh 4, 20 17 Joh 4, 24 22 Rom 1, 9

VG V^cF v l 1 εἴη: εἶ V 2 συνεργίας ex συνεργείας corr V 4 ante εἰσιν add τῶν δικαίων V^cF 5 ἐκλυθεῖσαι V^cF 12 μὴ om G σωματικὰς: πνευματικὰς G 14-15 ἐν περιγεγραμμένῳ correxi: ἐμπεριγεγραμμένον G v, ἐκπεριγεγραμμένον V, ἐμπεριγεγραμμένῳ V^cF 15 τῷ om VG v 17 ante πνεῦμα add εἰς τὸ V^cF 18 μὴ om V 21 et 23 τύπῳ v

νοῦ δὲ μὴ ὄντος οὐδ' ἂν ἡ προαίρεσις εἴη. οὐκοῦν, ἥν φησιν Ἀπολινάριος σάρκα ἔμψυχόν τε καὶ ἐμπροαίρετον, ταύτην οὐδὲ τοῦ νοῦ κεχωρίσθαι ὁμολογεῖ. ἀλλὰ κἂν σὰρξ λέγηται μόνον, τὸν τέλειον τῆς ἀνθρωπότητος λόγον ἐν ἑαυτῇ περιέχει, ὡς μὴ δύνασθαί τινος τῶν συμπληρωτικῶν τῆς φύσεως λείποντος ἔτι τὸ λειπόμενον ἄνθρωπον λέγεσθαι.

Ἀλλ' ἐκ τριῶν, φησίν, ὁ ἄνθρωπος. δεδόσθω τοῦτο, κἂν μὴ κατ' ἀνάγκην ἡμᾶς ὁ λόγος τῇ συγκαταθέσει προσάγηται. Ἀλλὰ καὶ ὁ κύριος ἄνθρωπος, φησί, λεγόμενος ἐκ τριῶν κἀκεῖνος, πνεύματος καὶ ψυχῆς καὶ σώματος. οὐδὲ τούτῳ τέως ἀντιμαχόμεθα· πάντα γάρ, ὅσα τὴν ἡμετέραν συμπληροῖ φύσιν, καὶ περὶ ἐκεῖνον τὸν ἄνθρωπον εἶναί τις λέγων οὐχ ἁμαρτήσεται. Ἀλλὰ καὶ ἐπουράνιος ἄνθρωπος, περὶ τοῦ κυρίου τοῦτο λέγει, καὶ πνεῦμα ζωοποιοῦν. καὶ ταῦτα δεχόμεθα· ἡμετέρα γάρ, εἰ πρὸς τὸ δέον ἐκληφθείη αὐτῶν ἡ διάνοια. ὁ γὰρ ἀνακραθεὶς τῷ ἐπουρανίῳ καὶ μεταποιήσας διὰ τῆς πρὸς τὸ κρεῖττον ἐπιμιξίας τὸ γήϊνον οὐκέτ' ἂν χοϊκός, ἀλλ' ἐπουράνιος λέγοιτο· καὶ ὁ τῷ ζωοποιῷ πνεύματι [ὁ δὲ] ποιῶν ἐφ' ἡμῶν τὴν ἐνέργειαν καὶ πνεῦμά ἐστι ζωοποιοῦν. ἀλλ' ἴδωμεν πρὸς τί χρῆται τοῖς εἰρημένοις ὁ λογογράφος. Εἰ ἐκ πάντων, φησί, τῶν ἴσων ἡμῖν ἐστι τοῖς χοϊκοῖς ὁ ἐπουράνιος ἄνθρωπος, ὥστε καὶ τὸ πνεῦμα ἴσον ἔχειν τοῖς χοϊκοῖς, οὐκ ἐπουράνιος ἀλλ' ἐπουρανίου θεοῦ
1241 M. δοχεῖον. πολὺ μὲν ἐν τοῖς εἰρημένοις ἐστὶ τὸ ἀσαφὲς καὶ δυσφώρατον διὰ τὴν ἑρμηνευτικὴν ἀτονίαν· πλὴν ἀλλὰ ῥᾴδιον ἀνακαλύψαι τὸ βούλημα. φησὶ γάρ, εἰ μὲν ἐλλιπὴς

VG V^{c}F v l 2 τε V^{c}F: om VG v 4 τέλειον V^{c}F: om VG v 6 ἔτι τὸ λειπόμενον V^{c}F: om VG v 9 προσάγεται VG 10 post λεγόμενος add κἀκεῖνος V^{c}F 11 τοῦτο G 16 αὐτῶν V^{c}F: αὐτῷ VG v 18 οὐκέτ' V^{c}F: οὐκ cet v 19 ἴσως λείπει κολλώμενος ἢ τοιοῦτόν τι in marg G. nisi lacuna post πνεύματι statuenda videtur, verba ὁ δὲ secludenda sunt, quae pro καὶ ὁ in margine adscripta esse et inde in textum irrepsisse videntur 21 κέχρηται V^{c}F 23-24 verba ὥστε — χοϊκοῖς om VG, supra add V^{c}, post χοϊκοῖς (23) recepit F 26 δυσφόρατον V

εἴη τῷ νῷ ἐκεῖνος ὁ ἄνθρωπος, ἐπουράνιον αὐτὸν εἶναι· εἰ δὲ ἄρτιος εἴη, μηκέτι ἐπουράνιον, ἀλλὰ δοχεῖον γενέσθαι τοῦ ἐπουρανίου θεοῦ. ἐν τούτοις δὲ τί ἄν τις τῶν εἰρημένων πρὸ τοῦ ἑτέρου βδελύξαιτο; τὸ ἐμποδίζεσθαι τῇ ἀρτιότητι τὸ θεῖον οἴεσθαι, ὡς οἰκειοτέρας παρὰ τὸν νοῦν τῆς σαρκὸς οὔσης πρὸς τὴν τῆς θεότητος ἕνωσιν· ἢ τὸ τὸν θεὸν μὲν ἐπουράνιον πιστεύειν εἶναι, τὸν δὲ δεξάμενον ἐν ἑαυτῷ τὸν θεὸν τὸν οὐράνιον μὴ ἐκεῖ εἶναι, ὅπου ὁ θεὸς εἶναι πιστεύεται, ἀλλ' ἑτέρωθι παρὰ τὸν οὐράνιον εἶναι καὶ ἄλλο τι παρὰ τοῦτο κατονομάζεσθαι; Εἰ γάρ, φησὶν ὁ Ἀπολινάριος, οὐρανίου θεοῦ δοχεῖόν ἐστιν, ὁ δὲ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καθὼς ὁ Ἐκκλησιαστὴς λέγει. ἄρα ὁ χωρήσας ἐν ἑαυτῷ τὸν θεὸν μετὰ τοῦ χωρηθέντος ἐστὶν ἐπουράνιος ἀντὶ χοϊκοῦ κυρίως λεγόμενος· ὡς καὶ δι' ὧν φησιν ὁ λογογράφος, εἴπερ τὸ ἀκόλουθον τοῖς ἰδίοις λόγοις ἠπίστατο, σαφῶς τὸ δόγμα τῆς ἀληθείας κατασκευάζεται, τῇ σοφίᾳ τῶν ἐχθρῶν κρατυνόμενον.

Ἀλλὰ τὸ ἐφεξῆς ἐξετάσωμεν. Εἰ δὲ ἡμεῖς μέν, φησίν, ἐκ τριῶν, αὐτὸς δὲ ἐκ τεσσάρων, οὐκ ἄνθρωπος, ἀλλὰ ἀνθρωπόθεος. μὴ γελάτω πρὸς τὸ μωροφανὲς τοῦ ῥήματος καὶ ἀνόητον ὁ ἐντυγχάνων τῷ λόγῳ, στεναζέτω δὲ μᾶλλον πρὸς τὴν ἑκούσιον πήρωσιν τῶν τῇ ἀλογίᾳ ταύτῃ δεδουλωμένων. ἐὰν πᾶσα ἡ ἀνθρωπίνη φύσις τῇ ἐπισκηνώσει τῆς θείας δυνάμεως σῴζηται, ἀνθρωπόθεος ὁ θεὸς λόγος ὀνομασθήσεται· καὶ καθάπερ οἱ μῦθοι ἐκ διαφόρων συμπλέκοντες φύσεων τερατεύονται ζῷον καὶ σχήματα καὶ ὀνόματα ἱππελάφους καὶ τραγελάφους καὶ τὰ τοιαῦτα πλάσσοντές τε καὶ ὀνομάζοντες, οὕτως καὶ ὁ νέος μυθοποιὸς κατὰ τοὺς διδασκάλους αὐτοῦ τῆς ποιήσεως καταχλευάζει τὸ θεῖον

12 Eccl 5, 1 (cod B)

VG VᶜF v l 1 νοΐ VᶜF οὐράνιον VG 3 γίνεσθαι Vᶜ 4 βδελύξαιτο G v: βδελλύξαιτο cet 9 οὐρανὸν V v 11 ante φησὶν add καθὼς VᶜF 13 ante ὁ add καὶ VᶜF 16 ἐπίστατο VG v 25 ὁ om VG

μυστήριον. καὶ τοῦ ἀποστόλου διαρρήδην βοῶντος ὅτι Δι' ἀνθρώπου ἀνάστασις ἐκ νεκρῶν, οὐχ ἡμίσεως ἀνθρώπου οὐδὲ μικρόν τι ὑπὲρ τὸ ἥμισυ ἔχοντος, ἀλλὰ τῷ ἀπολύτῳ τῆς φωνῆς ἀμείωτον ἐνδειξαμένου τὴν φύσιν τὴν σημαινομένην ἐν τῷ ὀνόματι, οὗτος Μινώταυρον ἡμῖν διὰ τῆς αἰσχρᾶς ταύτης ὀνοματοποιΐας τερατεύεται τὸ μυστήριον, πολλὰς παρέχων τοῖς ἀλλοτρίοις τῆς πίστεως ἀφορμάς, δι' ὧν εἴρηκεν, εἰς τὸ χλευάζειν τὸν λόγον τῆς πίστεως. οὐ γάρ ἔστι τὸν διασύρειν ἐπὶ γέλωτι τὰ δόγματα θέλοντα τῆς ἀτόπου
1244 M. ταύτης συνθέσεως τῶν λόγων ἀποτραπῆναι, κἂν τὸ τοῦ λογογράφου κἂν τὸ ἡμέτερον ἐπικρατέστερον εἶναι δόξῃ· ὅ τι γὰρ ἂν ἐξ ἀμφοτέρων εἴπῃς, τὴν ἐκ τῶν δύο φύσεων σύνθεσιν οὐκ ἀφαιρήσεις τοῦ λόγου. οὐ γὰρ ὁ ἄνωθεν φήσας εἶναι τὴν σάρκα τὸ μηδὲ σάρκα αὐτὴν εἶναι κατασκευάζει· ἡ δὲ σὰρξ ἐμψύχῳ τινὶ φύσει διοικουμένη καὶ ζωτικὴν ἐν ἑαυτῇ δύναμιν ἔχουσα, καθὼς καὶ ὁ Ἀπολινάριος βούλεται, τὴν τοῦ ἀνθρώπου προσηγορίαν κυρίως ἔχει· ὁ δὲ προσλαβόμενος αὐτὴν καὶ ἑαυτὸν δι' ἐκείνης φανερώσας ἕτερος τῇ φύσει πάντως παρ' ἐκείνην ἐστίν· αὐτὸ γὰρ τὸ τῆς προσλήψεως ὄνομα τὴν κατὰ φύσιν ἑτερότητα τοῦ προσλαβομένου παρὰ τὸ προσειλημμένον ἐνδείκνυται. τί οὖν τὸ κωλῦον ἔσται, κἂν ταῦτα κρατῇ, τὸν ἐν σαρκὶ φανερωθέντα θεὸν διὰ τῆς ἀτόπου ἐκείνης ὀνοματοποιΐας ὑβρίζεσθαι, ὥστε καὶ τὸν οὕτω συνεστηκότα κατὰ τὴν τολμηρὰν τοῦ Ἀπολιναρίου φωνὴν ἀνθρωπόθεον λέγεσθαι; οὐδὲ γὰρ τὸν τραγέλαφον, ἐπειδὴ ὅλῳ τῷ ἐλάφῳ ἐξ ἡμίσεως προσεφύη τὸ τράγειον ἢ τὸ ἔμπαλιν περὶ τὴν τῶν ζῴων ἐγένετο μίξιν, ὥστε ἀκεραίῳ τράγῳ προσφυῆναι τὸ ἐλάφιον μέρος, διὰ τοῦτο κατὰ τὸν εἰρημένον τρόπον ὁ μῦθος ὠνόμασεν, ἀλλὰ τὸ ὁπωσοῦν μετασχεῖν ἑκατέρας τῆς φύσεως ἡ τῶν ὀνομάτων σύνθεσις

1 I Cor 15, 21

VG VᶜF v l 1 δι' om V 6 τερατεύεται: γρ καὶ ποιεῖ in marg VᶜF (an recte?) 10 τὸν λόγον VG v 13 ὁ om V 15 ἐν ἀψύχῳ VᶜF 17 ἔχειν V 19 ἐκείνου V 21 τό: τὸν G verba τί — ἔσται om VG 25 τῶν τραγελάφων VG

διερμηνεύει. ὥστε κατὰ τὸν λογογράφον, εἰ ἔστιν ὁ αὐτὸς ἄνθρωπος καὶ θεὸς ὁπωσοῦν τὴν συνάφειαν ἔχων, εἴτε πάσης συνδραμούσης τῆς φύσεως εἴτε καὶ ἐλλιπῶς ἐχούσης, τὴν ἄτοπον ἐκείνην τοῦ ὀνόματος συνθήκην οὐ διαφεύξεται. καὶ εἰ ταῦτα παρ' αὐτοῦ μαθόντες οἱ Ἕλληνες κωμῳδοῖεν ἡμῶν τὸ μυστήριον, πάντως ὁ τὴν ἀφορμὴν παρασχὼν τῆς βλασφημίας ἐν τῇ προφητικῇ κατάρᾳ γενήσεται, ᾗ φησιν Οὐαὶ δι' οὗ τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν!

Οἷα δὲ τοῖς εἰρημένοις προστίθησι πάλιν, κατανοήσωμεν. Εἰ ἐκ δύο, φησί, τελείων, οὔτε ἐν ᾧ θεός ἐστιν, ἐν τούτῳ ἄνθρωπός ἐστιν, οὔτε ἐν ᾧ ἄνθρωπος, ἐν τούτῳ θεός. εἰ δὲ ἐξ ἀπολείποντος καὶ τελείου κατὰ τὸν ἐκείνου λόγον εἶναι δοθείη τὸ σύγκριμα, ἆρ' οὐχὶ τὸ ἴσον παρὰ τῶν τὰ τοιαῦτα τολμώντων ῥηθήσεται, ὅτι ἐν ᾧ θεός ἐστιν ἄνθρωπος οὐκ ἔστι, καὶ ἐν ᾧ ἄνθρωπός ἐστι θεὸς οὐκ ἔστιν; ἕτερος γὰρ παντὶ τρόπῳ ὅ τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος λόγος καὶ οὐκ ἄν τις τὴν ἐλάττωσιν τῆς ἀνθρωπότητος ὅρον εἶναι τῆς θείας ὑπονοήσειε φύσεως· οὐ γὰρ ἐν τῷ τοῦτο μὴ εἶναι ἢ ἀτελῶς εἶναι ἐκεῖνό ἐστιν, ἀλλ' ἑκάτερον ἐφ' ἑαυτοῦ νοούμενον ἐν ἰδίοις θεωρεῖται ὀνόμασιν. ὅ τε γὰρ θεὸν ἀκούσας, ὅσα περὶ θεοῦ πρέπει νοεῖν, διὰ τῆς προσηγορίας ταύτης συμπαρεδέξατο καὶ ὁ τὴν τοῦ ἀνθρώπου προσηγορίαν παραδεξάμενος πᾶσαν τὴν 1245 M. φύσιν διὰ τῆς φωνῆς ταύτης ἀνετυπώσατο καὶ οὐδεμίαν ὀνόμασιν ἡ διάνοια τῶν λεγομένων πάσχει, ὥστε ἐν θατέρῳ τῶν ὀνομάτων ἐννοῆσαι τὸ ἕτερον. οὔτε γὰρ ἐν τούτῳ ἐκεῖνο οὔτε ἐν ἐκείνῳ τοῦτο σημαίνεται, ἀλλ' ἕκαστα τῶν ὀνομάτων τῇ κατὰ φύσιν παραμένει διανοίᾳ καὶ κατ' οὐδένα τρόπον αἱ ἐμφάσεις αὐτῶν πρὸς ἀλλήλας ὑπαλλαγήσονται. τὸ δὲ ἀτελὲς καὶ τὸ τέλειον ἑτέρων νοημάτων ὑπόθεσις τῷ ἀκούοντι γίνεται. τέλειον μὲν γάρ φαμεν τὸ συμπεπληρω-

7 Jes 52, 5 Rom 2, 24 (cf Matth 18, 7)

VG VᶜF v l 3 ἐλλειπῶς V v 7 ἢ VG v: ὡς VᶜF 13 δοθείη VᶜF v, corr ex δοθέντος G: δοθέντος V 19 ἐκεῖνος VG v 21 ὀνόμασιν corr Jaeger: νοήμασιν libri v cf 26 et 27 25 ante τῶν add διὰ VᶜF 28 καὶ om V 30 τὸ om VG

μένον τῷ ἰδίῳ λόγῳ τῆς φύσεως· ἀτελὲς δὲ τὸ ἐναντίον. οὐθέτερον δὲ τούτων ἐφ' ἑαυτοῦ λεγόμενον οὔτε ἄνθρωπον οὔτε θεὸν ἑρμηνεύει, ἀλλ' ᾧπερ ἂν συνονομασθῇ πράγματι ἢ ὀνόματι, ἢ πλῆρες ἢ ἐλλιπὲς τὸ δηλούμενον ἐννοεῖν ὑποτίθεται. πῶς οὖν, εἰ ἀτελὴς εἴη ὁ ἄνθρωπος, θεὸς εἶναι τὸ ἀτελὲς παρὰ τοῦ Ἀπολιναρίου κατασκευάζεται ὡς συμβαινούσης τῷ λόγῳ τῆς θεότητος τῆς κατὰ τὴν φύσιν ἡμῶν κολοβώσεως;

Πάλιν δὲ πρὸς τὸ ἐφεξῆς προάγων τὸν λόγον φησίν· Οὐ δύναται σῴζειν τὸν κόσμον ὁ ἄνθρωπος ἄνθρωπος μένων καὶ τῇ κοινῇ τῶν ἀνθρώπων φθορᾷ ὑποκείμενος. φημὶ τοῦτο κἀγώ· εἰ γὰρ αὐτάρκης ἦν ἡ ἀνθρωπίνη φύσις πρὸς τὸ ἑαυτῇ τὸ ἀγαθὸν κατακτήσασθαι, περιττὸν τὸ μυστήριον. ἐπειδὴ δὲ ἀμήχανον ἦν ἔξω θανάτου γενέσθαι μὴ θεοῦ τὴν σωτηρίαν πορίσαντος, διὰ τοῦτο τὸ φῶς ἐν τῇ σκοτίᾳ λάμπει διὰ σαρκός, ἵν' ἐξορίσῃ τῆς σαρκὸς τὴν ἐκ τοῦ σκότους ἀπώλειαν. ἀλλ' οὐδὲ ὑπὸ θεοῦ, φησί, μὴ ἐπιμιχθέντος ἡμῖν σῳζόμεθα. σωφρονεῖν ἔοικεν ἐν τοῖς λεγομένοις ὁ λογογράφος καὶ πρὸς τοὺς ἔμφρονας λογισμοὺς τὴν ψυχὴν ἐπανάγει· ὁ γὰρ μίξιν εἰπὼν τῶν κατὰ φύσιν διεστώτων σημαίνει τὴν ἕνωσιν. Μίγνυται δέ, φησί, σὰρξ γενόμενος, τουτέστιν ἄνθρωπος, καθὼς τὸ εὐαγγέλιον λέγει, ὅτε σὰρξ ἐγένετο, τότε αὐτὸν ἐν ἡμῖν ἐσκηνωκέναι. οὐδὲ ταῦτα τοῦ ὑγιαίνοντος ἀπᾴδει λόγου, εἰ μή τι παρασπαρείη αὐτῷ μετὰ ταῦτα τῆς ζιζανιώδους σπορᾶς. οὗτος γὰρ ἡμέτερος, μᾶλλον δὲ τῆς ἀληθείας ὁ λόγος, ὅτι τότε ἐσκήνωσεν ἐν ἡμῖν, ὅτε σὰρξ ἐγένετο, καὶ τὸ ἔμπαλιν, τότε σὰρξ ἐγένετο, ὅτε ἐσκήνωσεν ἐν ἡμῖν. εἰ οὖν ἐξ ἐκείνου ἡ σάρξ, ἀφ' οὗ ἡ ἐν ἡμῖν κατασκήνωσις, ἄρα πρὶν εὐαγγελισθῆναι ὑπὸ τοῦ Γαβριὴλ τὴν παρ-

VG V^cF v l 3 ᾧπερ Zacagni: ὥσπερ VG v, ὅπερ V^cF 10 ἄνθρωπος alt om VG v l 11 μένων V^cF: μὲν ὢν VG v 13 καταστήσασθαι v 16 τῆς G: διὰ cet v (cf 22) 25 παρασπαρείη corr Jaeger: παρασπαρεῖ V v, παρασπαρῇ GV^cF 27 τότε V^cF v, corr ex το G: τὸ V

θένον σὰρξ οὐδέπω ὁ λόγος ἦν· καὶ ψευδὴς ὁ λέγων ἐκ τῶν ἄνωθεν καταβεβηκέναι πρὸς ἡμᾶς τὸ ἀνθρώπινον καὶ πρὸ τῆς ἀνθρωπίνης φύσεως ἐκεῖνον εἶναι τὸν ἄνθρωπον, δι' οὗ τὸ θεῖον τῇ ἀνθρωπίνῃ κατεμίχθη ζωῇ. Ἀλλ' οὐδὲ λύει, φησί, τὴν τῶν ἀνθρώπων ἁμαρτίαν μὴ γενόμενος 1248 M. ἄνθρωπος ἀναμάρτητος οὐδὲ τὴν κατὰ πάντων ἀνθρώπων τοῦ θανάτου βασιλείαν καταλύει, εἰ μὴ ὡς ἄνθρωπος ἀπέθανε καὶ ἀνέστη. εἴθε μέχρι τέλους ἦν εὐγνώμων τὰ ἐκ τῆς ἐκκλησίας φθεγγόμενος! πάλιν δὲ πρὸς ἑαυτὸν ἐπανέρχεται καί φησι τὸν ἐκκλησιαστικὸν αἰτιώμενος λόγον, ὅτι περὶ τὸν ἄνθρωπον θεωροῦμεν τὸ πάθος, καὶ ἐπάγει τὸν ἴδιον λόγον εἰς ἔλεγχον τῆς ὑπολήψεως ἡμῶν ἔχοντα οὕτως· Ἀνθρώπου δέ, φησί, θάνατος οὐ καταργεῖ τὸν θάνατον. τί κατασκευάζων ταῦτά φησιν; ὅτι αὐτὴ τοῦ μονογενοῦς ἡ θεότης, αὐτὴ ἡ δύναμις, αὐτὴ ἡ ἀλήθεια, αὐτὴ ἡ ζωὴ ἐν τῷ κατὰ τὸν σταυρὸν πάθει ἀπενεκρώθη, ὥστε κατὰ τὴν τριήμερον ἐκείνην τοῦ χρόνου περιγραφὴν μὴ ζωὴν εἶναι, μὴ δύναμιν, μὴ δικαιοσύνην, μὴ φῶς, μὴ ἀλήθειαν, μὴ αὐτὴν τὴν θεότητα. οὐ γὰρ μιᾶς ἀποθανούσης θεότητος ἑτέραν ὑπολελεῖφθαι λέγει, διότι πολλαχοῦ δείκνυται Ἀρείῳ περὶ τούτου μαχόμενος καὶ μίαν εἶναι κατασκευάζων τῆς τριάδος θεότητα, ἧς ἐν τούτῳ νεκρωθείσης, καθὼς συγκατασκευάζει τῷ λόγῳ, πάντως ἑτέρα οὐκ ἦν. καὶ πῶς ἄν τις ὑπονοήσειεν αὐτὸν μὴ θνητὴν ποιεῖν τὴν θεότητα, συνιδεῖν οὐκ ἔχω. οὐδὲν γὰρ ἕτερόν ἐστιν ἐπ' ἀνθρώπου θάνατος, εἰ μὴ τοῦ συνθέτου διάλυσις· οὐδὲ γὰρ ἐν ἡμῖν τοῦ σώματος εἰς τὰ ἐξ ὧν σύγκειται λυομένου καὶ ἡ ψυχὴ συνδιαπίπτει τῇ διαλύσει τοῦ σώματος, ἀλλὰ τὸ μὲν σύνθετον διαλύεται, τὸ δὲ ἀσύνθετον ἀδιάλυτον μένει. εἰ οὖν ψυχῆς οὐχ ἅπτεται θάνατος, πῶς ἡ θεότης ἀπονεκροῦται, λεγέτωσαν οἱ μὴ εἰδότες ἃ λέγουσιν.

Τὰ δὲ ἐχόμενα τούτων, ὅσα τῆς αὐτῆς ἐστι κατασκευῆς, ὑπερβήσομαι· φησὶ γὰρ ἐν τοῖς ἐφεξῆς, κατασκευάζων

VG $\mathrm{V^c}$F v l 2-3 verba καὶ — ἄνθρωπον om VG 15 αὐτὴ αὐτοῦ VG v αὐτὴ ἡ δύναμις om v 25 οὐδὲ V v

τὸ αὐτὴν τεθνάναι τοῦ μονογενοῦς τὴν θεότητα, ὅτι Ἀνθρώπου θάνατος οὐ καταργεῖ τὸν θάνατον οὐδὲ ἀνίσταται ὁ μὴ ἀποθανών· ἐξ ὧν, φησίν, ἁπάντων δῆλον, ὅτι αὐτὸς ὁ θεὸς ἀπέθανε, καθὸ, φησίν, οὐκ ἦν δυνατὸν κρατεῖσθαι τὸν Χριστὸν ὑπὸ τοῦ θανάτου. ἅπερ ὡς πρόδηλον ἔχοντα τὴν ἀτοπίαν παραδραμεῖν οἶμαι δεῖν ἀνεξέταστα, παντὸς τοῦ γε νοῦν ἔχοντος καθ' ἑαυτὸν συνιδεῖν δυναμένου τὸ ἀσεβές τε καὶ ἄτοπον τοῦ διαρρήδην ἀποφαινομένου αὐτὸν τὸν θεὸν τεθνάναι, τῇ ἰδίᾳ ἑαυτοῦ φύσει ὑποστάντα τὸν θάνατον. πλὴν τοσοῦτον εὔλογον ἴσως ἐστὶ παρασημήνασθαι, ὅτι οὐδὲ ὅσα ἐκ τοῦ ἡμετέρου προσώπου λέγει, καθαρεύει τοῦ ψεύδους, ἀλλ' ἔστιν ἐν αὐτοῖς, ἃ συκοφαντικῶς ἐπὶ διαβολῇ συμπέπλασται τοῦ ἡμετέρου λόγου. λέγει γὰρ μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστὸν παρ' ἡμῶν λέγεσθαι, ὥστε τὸν λόγον εἶναι θεόν. ἡμεῖς δὲ τὸ ἐπ' ἐσχάτων ἡμερῶν διὰ σαρκὸς πεφανερῶσθαι τὴν δύναμιν τοῦ θεοῦ καὶ τὴν σοφίαν καὶ τὸ φῶς καὶ τὴν ζωήν, ἅπερ πάντα ὁ Χριστός ἐστιν, οὐκ
1249 M. ἀρνούμεθα· τὸ δὲ λέγειν μὴ εἶναί ποτε ταῦτα τὸν διὰ τούτων δηλούμενόν τε καὶ ὀνομαζόμενον κύριον καὶ Χριστόν, οὐδὲν ἀνεκτότερον εἰς ἀσέβειαν τῆς παντελοῦς ἀρνήσεως τοῦ ὀνόματος κρίνομεν. ὁ γὰρ μὴ ἐξ ἀρχῆς λέγων εἶναι Χριστὸν (Χριστὸς δὲ θεοῦ δύναμις καὶ θεοῦ σοφία καὶ πᾶν ὑψηλόν τε καὶ θεοπρεπές ἐστιν ὄνομα) οὐδ' ἂν ἄλλο τι λέγοι εἶναι, ὃ διὰ τοῦ μεγάλου τούτου νοεῖται ὀνόματος. ὥσπερ γὰρ ἐν τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ τὸ λογικόν ἐστι καὶ τὸ ἐπιστήμης δεκτικὸν καὶ εἴ τι ἄλλο γνωριστικὸν τῆς φύσεως ἰδίωμα λέγεται, εἰ δέ τις μὴ εἶναι λέγοι τὸν ἄνθρωπον, συνανῄρηται πάντως τῇ τοῦ ὀνόματος ἀθετήσει καὶ τὰ λοιπὰ τῆς φύσεως ἰδιώματα, κατὰ τὸν αὐτὸν τρόπον εἰ Χριστός ἐστιν ἡ δύναμις, ἡ σοφία, ὁ χαρακτήρ, τὸ ἀπαύγασ-

23 I Cor 1, 24

VG VᶜF v l 8 καθ' ἑαυτὸν: καὶ ἀφ' ἑαυτοῦ supra Vᶜ, ἀφ' ἑαυτοῦ in marg F 13 συκοφαντικῶς om l, συκοφαντητικῶς VᶜF 30 κατὰ om V v εἰ: ὁ v

μα, ὁ ἐκεῖνον ἐξ ἀρχῆς μὴ εἶναι λέγων ἀθετήσει πάντως καὶ τὰ μετ' ἐκείνου νοούμενα. διό φαμεν διὰ τῶν ἁγίων γραφῶν ὁδηγούμενοι ἀεὶ τὸν Χριστὸν εἶναι τῇ τοῦ πατρὸς ἀϊδιότητι συνθεωρούμενον. ὡς γὰρ πάντοτε θεὸς ὁ μονογενὴς θεὸς καὶ οὐκ ἐκ μετουσίας γίνεται οὐδὲ διά τινος προκοπῆς ἀπὸ ταπεινοτέρας καταστάσεως ἐπὶ τὴν θεότητα μέτεισιν, οὕτω καὶ ἡ δύναμις καὶ ἡ σοφία καὶ πᾶν θεοπρεπὲς ὄνομα συναΐδιόν ἐστι τῇ θεότητι, ὡς μηδὲν ἐπιγίνεσθαι κατὰ προσθήκην εἰς δόξαν τῆς φύσεως, ὃ μὴ ἐξ ἀρχῆς ἦν. τὸ δὲ τοῦ Χριστοῦ ὄνομα διαφερόντως φαμὲν ἐξ ἀϊδίου περὶ τὸν μονογενῆ θεωρεῖσθαι, ὑπ' αὐτῆς τῆς τοῦ ὀνόματος ἐμφάσεως πρὸς τὴν ὑπόληψιν ταύτην χειραγωγούμενοι. τῆς γὰρ ἁγίας τριάδος διδασκαλίαν περιέχει ἡ τοῦ ὀνόματος τούτου ὁμολογία, ἑκάστου τῶν πεπιστευμένων προσώπων ἐμφαινομένου τῇ προσηγορίᾳ ταύτῃ κατὰ τὸ πρόσφορον. καὶ ὡς ἂν μὴ παρ' ἑαυτῶν λέγειν τι δοκοίημεν, τὰ τῆς προφητείας παραθησόμεθα ῥήματα. Ὁ θρόνος σου, φησίν, ὁ θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. ἐν τούτοις γὰρ διὰ μὲν τοῦ θρόνου τὴν ἐπὶ πάντων ἀρχὴν διασημαίνει ὁ λόγος· ἡ δὲ ῥάβδος τῆς εὐθύτητος τὸ ἀδέκαστον ἑρμηνεύει τῆς κρίσεως· τὸ δὲ τῆς ἀγαλλιάσεως ἔλαιον τὴν τοῦ ἁγίου πνεύματος παρίστησι δύναμιν, ᾧ χρίεται παρὰ τοῦ θεοῦ ὁ θεός, τουτέστι παρὰ τοῦ πατρὸς ὁ μονογενής, ἐπειδὴ ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν. εἰ μὲν οὖν ἦν ποτε, ὅτε οὐκ ἦν φίλος τῆς δικαιοσύνης, ἐχθρὸς δὲ τῆς ἀδικίας, ἀκόλουθον ἦν τὸ μηδὲ κεχρῖσθαί ποτε λέγειν τὸν διὰ τοῦτο κεχρῖσθαι λεγόμενον, ὅτι ἠγάπησε δικαιοσύνην καὶ ἐμίσησεν ἀδικίαν. εἰ δὲ πάντοτε φίλος δικαιοσύνης (οὐ γὰρ ἄν ποτε ἑαυτὸν μισήσειεν, αὐτὸς δικαιοσύνη ὤν), πάντοτε δηλονότι καὶ ἐν τῷ χρίσματι θεωρεῖται. ὥσπερ οὖν

17-21 Ps 44, 7-8

VG VᶜF v l 5 ante γίνεται add τοῦτο VᶜF 7 ἡ alt om v
11 ἐμφάσεως VᶜF v: φράσεως VG 31 αὐτὸς om VG

ὁ δίκαιος οὐκ ἄδικος, οὕτως οὐδὲ ἄχριστος ἂν εἴη ποτὲ ὁ Χριστός· ὁ δὲ μηδέποτε ἄχριστος, ἀεὶ πάντως Χριστός· 1252 M. ὅτι τοίνυν ὁ χρίων ἐστὶν ὁ πατήρ, τὸ δὲ χρῖσμα τὸ ἅγιον πνεῦμά ἐστι, πᾶς τις ἂν σύνθοιτο ὅ γε μὴ κεκαλυμμένος τὴν καρδίαν τῷ Ἰουδαϊκῷ προκαλύμματι.

Πῶς οὖν ἡμᾶς φησι λέγειν μὴ ἐξ ἀρχῆς εἶναι τὸν Χριστόν; οὐ μήν, ἐπειδὴ Χριστὸν ἀϊδίως εἶναι ὁμολογοῦμεν, ἤδη καὶ τὴν παρ' αὐτοῦ πλασθεῖσαν σάρκα πάντοτε περὶ αὐτὸν ἐννοοῦμεν· ἀλλ' οἴδαμεν τὸν αὐτὸν καὶ προαιώνιον [τε] καὶ κύριον καὶ μετὰ τὸ πάθος πάλιν τὸν αὐτὸν τοῦτον ὁμολογοῦμεν, καθώς φησι πρὸς τοὺς Ἰουδαίους ὁ Πέτρος ὅτι Κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν ὁ θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. τοῦτο δέ φαμεν οὐχ ὡς δυάδα Χριστῶν καὶ κυρίων περὶ τὸν ἕνα βλέποντες, ἀλλ' ἐπειδὴ τῇ φύσει θεὸς ὢν ὁ μονογενὴς θεὸς καὶ τοῦ παντὸς κύριος καὶ βασιλεὺς πάσης κτίσεως καὶ ποιητὴς τῶν ὄντων καὶ διορθωτὴς τῶν διαπεπτωκότων, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ τὸ καὶ τὴν ἡμετέραν φύσιν ἐξ ἁμαρτίας διαπεσοῦσαν μὴ ἀπώσασθαι τῆς πρὸς αὐτὸν κοινωνίας, ἀλλὰ πάλιν εἰς τὴν ζωὴν παραδέξασθαι. αὐτὸς δέ ἐστιν ἡ ζωή· διὰ τοῦτο ἐπὶ τέλει τοῦ ἀνθρωπίνου βίου ἤδη τῆς κακίας ἡμῶν πρὸς τὸ ἀκρότατον αὐξηθείσης, ὡς ἂν μηδὲν ἀθεράπευτον τῆς πονηρίας ὑπολειφθείη, τότε δέχεται τὴν πρὸς τὸ ταπεινὸν ἡμῶν τῆς φύσεως ἐπιμιξίαν καὶ τὸν ἄνθρωπον ἐν ἑαυτῷ λαβὼν καὶ αὐτὸς ἐν τῷ ἀνθρώπῳ γενόμενος, καθώς φησι πρὸς τοὺς μαθητὰς ὅτι Ἐγὼ ἐν ὑμῖν καὶ ὑμεῖς ἐν ἐμοί, ὅπερ αὐτὸς ἦν, τοῦτο καὶ τὸν ἀνακραθέντα ἐποίησεν· αὐτὸς δὲ ἦν ἀεὶ ὑπερύψιστος· διὰ τοῦτο καὶ τὸ ταπεινὸν ὑπερύψωσεν· οὐ γὰρ δὴ ὁ ὑπὲρ πᾶν ὕψιστος ἔτι τοῦ ὑψωθῆναι

11 Act 2, 36 26 Joh 14, 20

VG V^cF v 1 ποτὲ: οὐδέποτε supra V^c, ποτὲ οὐδέποτε F 3 ὁ alt om VG v 4 συθοῖτο V 10 τε secl Jaeger τὸν correxi: τε VG v, τὸ V^cF αὐτὸν τοῦτον VG: αὐτὸ τοῦτο V^cF v 11 ὁμολογοῦμεν V^cF v: ὁμολογούμενον VG 18 καὶ: κατὰ V 22 μηδέ V 24 ἡμῶν post φύσεως transpos G

ἐδέετο. Χριστὸς δὲ καὶ κύριος ὁ λόγος ἦν, τοῦτο καὶ ὁ ἐμμιχθείς τε καὶ ἀναληφθεὶς ἐν τῇ θεότητι γίνεται· οὐ γὰρ ὁ ὢν κύριος ἀναχειροτονεῖται πάλιν εἰς κυριότητα, ἀλλ' ἡ τοῦ δούλου μορφὴ κύριος γίνεται· διὸ καὶ Εἷς κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, λέγεται Χριστὸς ὡσαύτως ὁ πρὸ τῶν αἰώνων τὴν δόξαν τοῦ πνεύματος περικείμενος (τοῦτο γὰρ σημαίνει διὰ συμβόλων ἡ χρῖσις) καὶ μετὰ τὸ πάθος τὸν ἑνωθέντα αὐτῷ ἄνθρωπον τῷ αὐτῷ χρίσματι καλλωπίσας Χριστὸν ποιεῖ· Δόξασόν με γάρ, φησίν, ὡσανεὶ χρῖσον ἔλεγε, τῇ δόξῃ, ἣν εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον εἶναι. ἡ δὲ προκόσμιος καὶ πρὸ πάσης κτίσεως καὶ πρὸ πάντων αἰώνων θεωρουμένη δόξα, ᾗ ὁ μονογενὴς θεὸς ἐνδοξάζεται, οὐκ ἂν ἄλλη τις εἴη κατὰ τὸν ἡμέτερον λόγον παρὰ τὴν 1253 M. δόξαν τοῦ πνεύματος· μόνην γὰρ προαιώνιον τὴν ἁγίαν τριάδα ὁ τῆς εὐσεβείας παραδίδωσι λόγος. Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, φησὶ περὶ τοῦ πατρὸς ἡ προφητεία· περὶ δὲ τοῦ μονογενοῦς ὁ ἀπόστολος ὅτι Δι' αὐτοῦ οἱ αἰῶνες ἐγένοντο· καὶ δόξα πρὸ τῶν αἰώνων περὶ τὸν μονογενῆ θεὸν θεωρουμένη τὸ πνεῦμά ἐστι τὸ ἅγιον. ὅπερ οὖν ἦν τῷ Χριστῷ τῷ παρὰ τῷ πατρὶ ὄντι πρὸ τοῦ τὸν κόσμον εἶναι, τοῦτο καὶ τῷ ἑνωθέντι πρὸς τὸν Χριστὸν ἐπὶ τέλει τῶν αἰώνων γίνεται. Ἰησοῦν γάρ, φησί, τὸν ἀπὸ Ναζαρέθ, ὃν ἔχρισεν ὁ θεὸς τῷ πνεύματι τῷ ἁγίῳ. ὥστε μὴ συκοφαντείτω τὸν ἡμέτερον λόγον, ὡς ἡμῶν μὴ ἀεὶ Χριστὸν τὸν μονογενῆ θεὸν εἶναι λεγόντων· ἀλλὰ πάντοτε μὲν ὁ Χριστὸς καὶ πρὸ τῆς οἰκονομίας καὶ μετὰ τοῦτο· ἄνθρωπος δὲ οὔτε πρὸ τούτου οὔτε μετὰ ταῦτα, ἀλλ' ἐν μόνῳ τῷ τῆς οἰκονομίας καιρῷ. οὔτε γὰρ πρὸ τῆς παρθένου ὁ ἄνθρωπος οὔτε μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον ἔτι ἡ σὰρξ ἐν τοῖς ἑαυτῆς ἰδιώμασιν. Εἰ γὰρ καὶ ἐγνώκαμέν ποτε, φησί, κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκ

4 I Cor 8, 6 9 Joh 17, 5 15 Ps 54, 20 17 Hebr 1, 2 22 Act 10, 38 29 II Cor 5, 16

VG V^cF v l 5 ὁ om VG 11 post πάντων add τῶν V^cF (cf 15 et 18) 13 post κατὰ add γε V^cF 14 πνεύματος V^cF: πατρὸς VG v 16 τοῦ ante μονογενοῦς om v 25 ὁ om V^c πρὸ: περὶ v 30 ἐγνώκειμεν libri v, correxi

ἔτι γινώσκομεν· οὐδὲ γὰρ ἐπειδὴ ὁ θεὸς ἐν σαρκὶ ἐφανερώθη, σὰρξ διέμεινεν· ἀλλ' ἐπειδὴ τρεπτὸν μὲν τὸ ἀνθρώπινον, ἄτρεπτον δὲ τὸ θεῖον, ἡ μὲν θεότης πρὸς τροπήν ἐστιν ἀκίνητος, οὔτε πρὸς τὸ κρεῖττον ἀλλοιουμένη οὔτε πρὸς τὸ χεῖρον (τὸ μὲν γὰρ χεῖρον οὐ παραδέχεται, τὸ δὲ κρεῖττον οὐκ ἔχει)· ἡ δὲ ἀνθρωπίνη φύσις ἐν Χριστῷ πρὸς τὸ κρεῖττον κέχρηται τῇ τροπῇ, ἀπὸ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον ἀλλοιωθεῖσα, ἀπὸ τοῦ ἐπικήρου πρὸς τὸ ἀκήρατον, ἀπὸ τοῦ ὀλιγοχρονίου πρὸς τὸ ἀΐδιον, ἀπὸ τοῦ σωματικοῦ καὶ κατεσχηματισμένου πρὸς τὸ ἀσώματόν τε καὶ ἀσχημάτιστον.

Ἐπειδὴ δέ φασιν ἡμᾶς λέγειν πεπονθέναι τὸν ἄνθρωπον, οὐ τὸν θεόν, ταῦτα παρ' ἡμῶν ἀκουσάτωσαν, ὅτι τὴν θεότητα ἐν τῷ πάσχοντι εἶναι ὁμολογοῦμεν, οὐ μὴν τὴν ἀπαθῆ φύσιν ἐμπαθῆ γενέσθαι. ὡς δ' ἂν σαφέστερον 256 M. γένοιτο τὸ λεγόμενον, ταύτην ἔχομεν τὴν διάνοιαν, ὅτι ἡ ἀνθρωπίνη φύσις ἐκ νοερᾶς ψυχῆς σώματι συνδραμούσης τὴν ὑπόστασιν ἔχει· φύεται δὲ τὸ συναμφότερον ἀφορμῆς τινος ὑλικῆς προκαταβαλλομένης αὐτοῦ τῆς συστάσεως. ἡ δὲ ὕλη ἐκείνη θείᾳ δυνάμει ζωοπλαστηθεῖσα ἄνθρωπος γίνεται, ὡς εἴ γε δοίη τις καθ' ὑπόθεσιν μὴ συμπαρεῖναι τὴν δημιουργικὴν τοῦ θεοῦ δύναμιν πρὸς τὴν τοῦ πλασσομένου σύστασιν, ἀργὴ πάντως μένει καὶ ἀκίνητος μὴ ζωογονουμένη διὰ τῆς ποιητικῆς ἐνεργείας ἡ ὕλη. ὥσπερ οὖν ἐφ' ἡμῶν ζωοποιός τις δύναμις ἐνθεωρεῖται τῇ ὕλῃ, ἀφ' ἧς ὁ ἐκ ψυχῆς τε καὶ σώματος συνεστὼς ἄνθρωπος διαπλάσσεται, οὕτως ἐπὶ τῆς παρθενίας ἡ τοῦ ὑψίστου δύναμις, διὰ τοῦ ζωοποιοῦντος πνεύματος ἀΰλως τῷ ἀμιάντῳ σώματι ἐμφυεῖσα καὶ ὕλην τῆς σαρκὸς τὴν ἀφθορίαν τῆς παρθένου ποιησαμένη, τὴν ἐκ τοῦ παρθενικοῦ σώματος πρὸς τὸ πλασσόμενον συνεισφορὰν παρεδέξατο καὶ οὕτως ἐκτίσθη ὁ καινὸς ὡς ἀληθῶς ἄνθρωπος, ὁ πρῶτος καὶ μόνος τὸν τοιοῦτον τρόπον τῆς ὑποστάσεως

VG V^cF v l 1 οὐδὲ: corr ex οὐ G, οὐ V v 4 οὔτε πρὸς τὸ χεῖρον om VG, add V^c, falso loco inseruit F 6 post ἐν add τῷ V^cF 13 ante ἐν add μὲν V^cF 17 ἀφορμῆς V^cF v: ἀμοιβῆς VG

ἐφ᾽ ἑαυτοῦ καταδείξας, ὁ κατὰ θεὸν κτισθείς, οὐ κατὰ ἄνθρωπον, τῆς θείας δυνάμεως κατὰ τὸ ἴσον διὰ πάσης τῆς τοῦ συγκρίματος φύσεως διηκούσης, ὡς μηθέτερον ἀμοιρεῖν τῆς θεότητος, ἀλλ᾽ ἐν ἀμφοτέροις, ἐν ψυχῇ λέγω καὶ σώματι, καθὼς εἰκός, ἑκατέρῳ προσφυῶς τε καὶ καταλλήλως εἶναι. ὥσπερ οὖν τοῦ ἀνθρώπου τικτομένου ἡ θεότης τοῦ γεννηθῆναι οὐκ ἐδέετο πρὸ πάντων αἰώνων οὖσα καὶ εἰς ἀεὶ διαμένουσα, ἀλλ᾽ ἅπαξ ἐγγενομένη κατὰ τὴν σύστασιν τοῦ ἀνθρώπου καὶ κατὰ τὴν γέννησιν ἐκείνῳ συναναφαίνεται, οὕτως οὐδὲ τοῦ ἀναστῆναι χρῄζει ἡ ἀεὶ ζῶσα, ἀλλ᾽ ἐν τῷ διὰ τῆς θείας δυνάμεως εἰς τὴν ζωὴν ἐπαναγομένῳ ἀνίσταται, οὐκ αὐτὴ ἐγειρομένη (οὐδὲ γὰρ πέπτωκεν), ἀλλ᾽ ἐν ἑαυτῇ τὸν πεπτωκότα ἐγείρουσα. εἰ οὖν τὸ θεῖον οὔτε γεννήσεως οὔτε ἀναστάσεως δέεται, δηλονότι καὶ τὸ πάθος οὐχ ὡς τῆς θεότητος παθούσης ἐπιτελεῖται, ἀλλ᾽ ὡς ἐν τῷ πάσχοντι οὔσης καὶ διὰ τῆς πρὸς τὸν πεπονθότα ἑνώσεως τὸ ἐκείνου πάθος οἰκειουμένης. ἡ γὰρ θεία φύσις, καθὼς εἴρηται, τῇ τε ψυχῇ καὶ τῷ σώματι καταλλήλως ἐμφυεῖσα καὶ ἓν πρὸς ἑκάτερον γενομένη διὰ τῆς ἀνακράσεως, ἐπειδὴ ἀμεταμέλητα, φησί, τοῦ θεοῦ τὰ χαρίσματα, οὐδετέρου τούτων ἀποχωρεῖ, ἀλλὰ εἰς τὸ διηνεκὲς παραμένει. οὐδὲ γὰρ ἔστι τὸ χωρίζον τινὰ τῆς πρὸς τὸν θεὸν συναφείας πλὴν ἁμαρτίας· οὗ δὲ ἡ ζωὴ ἀναμάρτητος, τούτου πάντως ἀχώριστος ἡ πρὸς τὸν θεὸν ἕνωσις.

Ἐπεὶ οὖν δι᾽ ἀμφοτέρων τὸ ἀναμάρτητον, διὰ ψυχῆς
1257 M. λέγω καὶ σώματος, ἐν ἑκατέρῳ κατὰ τὸ εἰκὸς ἦν τῆς θείας φύσεως ἡ παρουσία. τοῦ δὲ θανάτου τὸν μερισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐργασαμένου τὸ μὲν σύνθετον

19 Rom 11, 29

VG VᶜF v l 3 μηδ᾽ ἕτερον VG v 5 ante ἑκατέρῳ add ἐν VᶜF 8 ἓν γενομένη VᶜF v 9 γένεσιν VᶜF 10 ἀλλὰ v 11 οὐκ αὐτὴ VᶜF v, corr ex οὐχ αὕτη G: οὐχ αὕτη V 13 post θεῖον add τὸ ἀεὶ ὂν VᶜF 17 καθὼς VᶜF v, corr ex καὶ ὡς G: καὶ ὡς V 19 διὰ τῆς ἀνακράσεως om V v 20-21 οὐδέτερον τούτων ὑποχωρεῖ V v 23 ante ἡ add ἦν VᶜF

διετέμνετο, τὸ δὲ ἀσύνθετον οὐ διΐστατο, ἀλλ' ἀδιασπάστως ἐν ἑκατέρῳ ἦν. τεκμήριον δὲ τοῦ μὲν ἐν σώματι τὸν θεὸν εἶναι τὸ ἐν ἀφθαρσίᾳ φυλαχθῆναι τὴν σάρκα μετὰ τὸν θάνατον· θεὸς δὲ πάντως ἐστὶν ἡ ἀφθαρσία· τοῦ δὲ τῆς ψυχῆς μὴ ἀποχωρῆσαι τὸ δι' ἐκείνης ὁδοποιηθῆναι τῷ λῃστῇ τὴν εἰς τὸν παράδεισον εἴσοδον. ἐπειδὴ τοίνυν ἐπληρώθη τὸ μυστήριον τῆς θείας δυνάμεως τῷ διπλῷ τῆς ἀνθρωπίνης φύσεως ἐγγενομένης καὶ δι' ἑκατέρου τῷ συγγενεῖ μέρει τὴν ζωοποιὸν ἐναποθεμένης ἐνέργειαν, διὰ μὲν τῆς σαρκὸς τῷ σώματι, διὰ δὲ τῆς ψυχῆς τῇ ψυχῇ (τῆς νοερᾶς λέγω καὶ οὐ τῆς ἀλόγου· κτηνῶδες γὰρ καὶ οὐκ ἀνθρώπινόν ἐστι τὸ ἀνόητον), τότε ἡ ἐξ ἀρχῆς ἐγκραθεῖσα τῷ σώματι καὶ τῇ ψυχῇ θεότης καὶ μέχρι παντὸς παραμείνασα ἐν τῇ ἀναστάσει τοῦ κειμένου ἐγείρεται καὶ οὕτω Χριστὸς ἐκ νεκρῶν ἐγηγέρθαι λέγεται, ὁ αὐτὸς καὶ ὢν Χριστὸς καὶ γενόμενος· ὢν μὲν κατὰ τὴν προαιώνιον βασιλείαν, γενόμενος δὲ ὅτε εὐηγγελίζοντο τοῖς ποιμέσιν οἱ ἄγγελοι τὴν μεγάλην χαρὰν τὴν ἐσομένην παντὶ τῷ λαῷ ἐπὶ τῇ γενέσει τοῦ σωτῆρος, ὅς ἐστι, φησί, Χριστὸς κύριος προσφόρως ὀνομαζόμενος κατὰ τὸν λόγον τοῦ Γαβριὴλ τοῦ εἰπόντος πνεῦμα ἅγιον ἐπελεύσεσθαι τῇ παρθένῳ καὶ δύναμιν ὑψίστου ἐπισκιάσειν. ὁ τοίνυν οὕτω τεχθεὶς εἰκότως καὶ Χριστὸς καὶ κύριος λέγεται· κύριος μὲν διὰ τὴν δύναμιν τοῦ ὑψίστου, Χριστὸς δὲ διὰ τὸ πνεῦμα τῆς χρίσεως. οὐ γὰρ ὁ προαιώνιος τότε χρίεται, ἀλλὰ περὶ οὗ φησιν ὅτι Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. τὸ γὰρ σήμερον τῶν δύο τοῦ χρόνου τμημάτων, τοῦ παρῳχηκότος τε καὶ τοῦ μέλλοντος, τὸ μέσον ἐστίν. ὁ δὲ τῶν αἰώνων ποιητὴς πῶς ἐν μέρει τοῦ χρόνου καὶ γεννᾶται καὶ χρίεται; ὥστε ἡ θεότης καὶ οὐ τέθνηκε καὶ ἐγήγερται· οὐ τέθνηκε γάρ, ὅτι τὸ μὴ συντεθὲν οὐ διαλύεται, ἐγήγερται δέ, ὅτι ἐν τῷ λυθέντι

14 Rom 6, 4 18 Luc 2, 11 19 Luc 1, 35 25 Ps 2, 7

VG VᶜF v l 1 ἀσύνθετον: ἀσύστατον V v ἀδιαστάτως VᶜF 2 ante σώματι add τῷ VᶜF 6 ante τὸ add τοῦ θανάτου VᶜF 18 ὅς: ὁ VᶜF 22 ante Χριστὸς add ὁ VG v 29 γὰρ: μὲν supra Vᵉ, ante γὰρ F

οὖσα ἑαυτῇ συνεπαρθῆναι τὸν κατὰ τὸν νόμον τῆς ἀνθρωπίνης πεσόντα φύσεως παρεσκεύασεν, ὡς ἂν ἑκατέρῳ μέρει τὸ οἰκεῖον προφερομένῳ παροῦσα τὴν τῶν σωμάτων φύσιν διὰ τοῦ σώματος τὴν δὲ τῶν ψυχῶν διὰ τῆς ψυχῆς ἐξιάσαιτο· πάλιν δὲ δι' ἑαυτῆς τὸ διακεκριμένον ἑνώσασα ἐν τῷ ἐπαιρομένῳ ἀνίσταται. καὶ ὥσπερ (κωλύει γὰρ οὐδὲν σωματικῶς τὸ μυστήριον τῆς κατὰ τὴν ἀνάστασιν οἰκονομίας ἐνδείξασθαι) [καθάπερ] εἰ διχῇ κάλαμος διασχισθείη καί τις κατὰ τὸ ἓν πέρας τὰ ἄκρα τῶν τοῦ καλάμου τμημάτων ἑνώσειεν, ὅλον ἐξ ἀνάγκης τὸ τμῆμα τοῦ καλάμου πρὸς τὸ ὅλον συναρμοσθήσεται διὰ τῆς ἐν τῷ ἑνὶ πέρατι συμβολῆς τε καὶ σφίγξεως πρὸς τὸ ἕτερον πέρας συναρμοζόμενον, οὕτως ἡ ἐν ἐκείνῳ
1260 M. τῆς ψυχῆς πρὸς τὸ σῶμα γενομένη διὰ τῆς ἀναστάσεως ἕνωσις πᾶσαν κατὰ τὸ συνεχὲς τὴν ἀνθρωπίνην φύσιν διὰ τοῦ θανάτου ψυχῇ τε καὶ σώματι μεμερισμένην πρὸς συμφυΐαν ἄγει τῇ ἐλπίδι τῆς ἀναστάσεως, τὴν συνδρομὴν τῶν διεστηκότων ἁρμόσασα· καὶ τοῦτό ἐστι τὸ παρὰ τοῦ Παύλου λεγόμενον ὅτι Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ Ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθησόμεθα. κατὰ γὰρ τὸ τοῦ καλάμου ὑπόδειγμα ἀπὸ μὲν τοῦ κατὰ τὸν Ἀδὰμ πέρατος ἡ φύσις ἡμῶν διὰ τῆς ἁμαρτίας ἐσχίσθη, τῷ θανάτῳ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος διαιρεθείσης, ἀπὸ δὲ τοῦ κατὰ τὸν Χριστὸν μέρους πάλιν ἡ φύσις ἑαυτὴν ἀναλαμβάνει, πάντῃ τῆς διαιρέσεως πρὸς ἑαυτὴν ἐν τῇ ἀναστάσει τοῦ κατὰ τὸν Χριστὸν ἀνθρώπου συμφυομένης. διὰ τοῦτο τοίνυν συναποθνήσκομεν τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι, οὐ τοῦτον λέγω τὸν ἀναγκαῖόν τε καὶ κοινὸν τῆς φύσεως ἡμῶν θάνατον· τοῦτο γὰρ καὶ μὴ βουλομένων γενήσεται· ἀλλ' ἐπειδὴ τῷ ἑκουσίως ἀποθανόντι συναποθνήσκειν χρὴ θέλοντας, προσήκει τὸν ἐκ προαιρέσεως αὐτοῖς ἐπινοῆσαι θάνατον· οὐ γάρ ἐστι διὰ τοῦ

17 I Cor 15, 20   19 I Cor 15, 22

VG VᶜF v l 8 καθάπερ secl Jaeger (var lect vid pro ὥσπερ 6) post καθάπερ add τοίνυν VᶜF v   14 ante διὰ add διχῇ VᶜF v   21 ὑπὸ VG v   κατὰ om V VᶜF   30 ἐθέλοντας VᶜF

κατηναγκασμένου ἡ πρὸς τὸ ἑκούσιον μίμησις. ἐπειδὴ τοίνυν ὁ ἐκ φύσεως ἐπικείμενος ἑκάστῳ θάνατος πάντῃ καὶ πάντως γίνεται καὶ βουλομένων καὶ μή, οὐκ ἂν δέ τις τὸ πάντως γινόμενον τῷ ἑκουσίῳ λογίσαιτο, διὰ τοῦτο ἕτερον τρόπον τῷ ἑκουσίως ἀποθανόντι συναποθνήσκομεν, τῷ μυστικῷ ὕδατι διὰ τοῦ βαπτίσματος ἐνθαπτόμενοι· Συνετάφημεν γὰρ αὐτῷ, φησί, διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα τῇ μιμήσει τοῦ θανάτου ἀκολουθήσῃ καὶ ἡ τῆς ἀναστάσεως μίμησις.

Πρὸς δὲ τὸ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν· Πῶς, φησί, θεὸς ἄνθρωπος γίνεται μὴ μεταβληθεὶς ἀπὸ τοῦ εἶναι θεός, εἰ μὴ νοῦς ἐν ἀνθρώπῳ κατέστη; ἆρα συνῆκεν ἅπερ ἐφθέγξατο; ἀμετάβλητον λέγει τὸ θεῖον καὶ καλῶς τοῦτο λέγει· τὸ γὰρ ἀεὶ ὡσαύτως ἔχον ἕτερόν τι παρ' ὅ ἐστι γίνεσθαι φύσιν οὐκ ἔχει· ἀλλ' ἐν ἑτέρῳ μὲν γίνεται, ἕτερον δὲ οὐ γίνεται. τί οὖν ὁ νοῦς ἐκεῖνος, καθὼς ὁ Ἀπολινάριος λέγει, ὁ ἐν ἀνθρώπῳ γενόμενος; ἆρα ἐν τῷ μεγαλείῳ τῆς ἀμεταβλήτου διέμεινε φύσεως, ἢ πρὸς τὸ ταπεινὸν πεποίηται τὴν μετάστασιν τῇ τοῦ ἀνθρωπίνου βραχύτητι ἑαυτὸν ἐμπεριγράψας καί, ὅσος οὗτός ἐστι, τοσοῦτος
1261 M. κἀκεῖνος γενόμενος; οὐκοῦν ἴσος ὁ ἀνθρώπινος νοῦς ἐστι τῇ θεότητι, εἴπερ, καθώς φησιν ὁ Ἀπολινάριος, νοῦς ἀνθρώπου ἡ θεία φύσις ἐγένετο. εἰ γὰρ ὁμοίως ἡ ἀνθρωπίνη δέχεται φύσις ἢ τὸν νοῦν τὸν ἡμέτερον ἢ ἀντὶ τοῦ νοῦ τὸν θεόν, ἰσομεγέθη ταῦτα ἂν εἴη ἀλλήλοις καὶ ἰσοστάσια, εἴπερ ἐν ᾧ χωρεῖται ὁ νοῦς, ἐν τούτῳ καὶ ἡ θεότης περιλαμβάνοιτο· ὡς εἴ τις ἀγγείῳ τινὶ κενῷ σῖτον ἢ ἕτερόν τι τῶν σπερμάτων ἀπομετροίη, οὐκ ἄν τις εἴποι τὸ τῷ αὐτῷ μέτρῳ ἰσούμενον κατὰ τὸ ποσὸν διαφέρειν τοῦ ἄλλου· ἴσος γάρ ἐστι πυρὸς ταῖς ὀλύραις, ὅταν ἀποκενωθέντων τοῦ μεδίμνου τῶν σπερμάτων ἐκείνων ἀντιπληρώσῃ τὸ ἕτερον ἔργον. οὐκοῦν εἰ

6 Rom 6, 4

VG V

VG VcF v l 4 γενόμενον v 5 συναποθανόντι VG 8 ἐπακολουθήσῃ VcF v 13 ante λέγει add εἶναι VcF 16 ὁ alt om VG 20 τοσοῦτον VcF 27 καινῷ VG 31 ἐκείνων add VcF v

ἀντὶ τοῦ νοῦ ἡ θεότης γίνεται, οὐκ ἄν τις ὑπερβάλλειν εἴποι παρὰ τὸν νοῦν τὴν θεότητα, εἴπερ ὁμοίως ἐκείνῳ χωρεῖται καὶ αὐτὴ ὑπὸ τῆς φύσεως. ἢ οὖν ἴσος ἐστὶν ὁ νοῦς τῇ θεότητι, καθὼς ὁ Ἀπολινάριος βούλεται, καὶ ἀπὸ τούτου πρὸς ἐκεῖνο μεταστὰς οὐκ ἠλλοιώθη· ἢ εἰ καταδεέστερον ὁ νοῦς παρὰ τὸ θεῖον ὁ τοῦτο ἐξ ἐκείνου γενόμενος πρὸς τὸ εὐτελέστερον ἠλλοιώθη. ἀλλὰ τίς οὐκ οἶδεν, ὅτι κατὰ τὸ ἴσον ὑποβέβηκε τῇ ἀπροσίτῳ τε καὶ ἀπροσπελάστῳ φύσει πᾶν τὸ ἐν τῇ κτίσει νοούμενον, ὡς ἴσην εἶναι τὴν τροπήν, κἂν εἰς κτίσμα κἂν εἰς νοῦν τις λέγοι μεταβεβλῆσθαι τὸ θεῖον; ὥστε εἰ τὸ ἐν νῷ γενέσθαι τροπὴν ὁ Ἀπολινάριος <οὐκ> οἴεται, οὐδὲ τὸ δίχα διανοίας καταμιχθῆναι τῷ ἀνθρώπῳ προσμαρτυρεῖ τῷ ἀνακραθέντι τὸ ἀναλλοίωτον. ἀλλ' εἴπερ οὐκ ἠλλοιώθη σὰρξ γενόμενος, πολὺ μᾶλλον ἐν τῷ ἀτρέπτῳ διέμεινε καὶ πρὸς τὸν νοῦν ποιησάμενος τὴν ἀνάκρασιν· εἰ δὲ τῷ ἐν νῷ γενέσθαι κατηγορεῖ τὴν τροπήν, καὶ ἡ πρὸς τὴν σάρκα οἰκείωσις οὐκ ἐκφεύγει πάντως τὴν κατηγορίαν τῆς ἀλλοιώσεως.

Ἔτι φησὶ (τὰ γὰρ ἐν τῷ μέσῳ παρίημι)· Εἰ μετὰ τὴν ἀνάστασιν θεὸς γέγονε καὶ οὐκέτι ἐστὶν ἄνθρωπος, πῶς ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ; καὶ πῶς ὀψόμεθα τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν; πῶς δὲ καὶ πρὶν ἑνωθῆναι καὶ ἀποθεωθῆναι λέγει· Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν; ταῦτα διέξεισιν ἐκεῖνος διὰ τῶν εἰρημένων κατασκευάζων, ὅτι οὐδὲν πρὸς τὸ θειότερον ἡ τοῦ σώματος φύσις μετεποιήθη, ἀλλ' ἔτι περὶ αὐτὸν αἱ τρίχες, οἱ ὄνυχες, ἡ μορφή, τὸ σχῆμα, ἡ τοῦ ὄγκου περι-
1264 M. γραφὴ καὶ τὰ λοιπά, δηλονότι ὅσα τε φαινόμενα καὶ ὅσα [τε] κρύφια τῶν μερῶν τῶν τοῦ σώματος. ἐγὼ δὲ τὸ μὲν μὴ

20 Matth 24, 31.30 23 Joh 10, 30

VG V^cF v l 5 post ἢ add εἰ G: om cet v 6 τούτου V 8 τὴν ἀπρόσιτόν τε καὶ ἀπροσπέλαστον φύσιν V^cF 9 εἶναι om VG v 10 νῷ: ᾧ V 11 οὐκ add Zacagni v: om libri 13 ἀλλ' εἴπερ: ὃς ἐπείπερ VG 20 ὁ om VG v 26 ἔτι: ὅτι v 27 μορφή: τροφή V^cF 28 τε om V^c 29 τε secl Jaeger μὴ om V

δεῖν οὕτω χαμαιριφῆ καὶ χαμαίζηλα περὶ τὸν θεὸν ἐννοεῖν περιττὸν ἡγοῦμαι λόγῳ κατασκευάζεσθαι, αὐτοῦ τοῦ τῶν ἐναντίων λόγου καὶ δι᾽ ἑαυτοῦ τὴν ἀτοπίαν κηρύσσοντος. ὡς δ᾽ ἂν μὴ τὰ θεῖα λόγια συνεργεῖν αὐτῷ πρὸς τὴν μυθοποιΐαν λογίζοιτο, διὰ βραχέων ἕκαστον τῶν εἰρημένων ἐπιδραμοῦμαι. ἐπειδή, φησίν, ἐν τῇ συντελείᾳ τοῦ παντὸς ὁ τοὺς ἀγγέλους ἀποστέλλων υἱὸς ἀνθρώπου λέγεται, διὰ τοῦτο μέχρι παντὸς οἴεται δεῖν ἐν τοῖς ἀνθρωπίνοις αὐτὸν ἰδιώμασι πιστεύειν εἶναι· καὶ οὐ μέμνηται τῆς τοῦ εὐαγγελίου φωνῆς, ὅπου πολλαχοῦ διὰ τῶν ἰδίων λόγων ὁ κύριος ἄνθρωπον τὸν ἐπὶ πάντων θεὸν κατωνόμασεν. ἄνθρωπος ἦν οἰκοδεσπότης, ὁ τοῖς γεωργοῖς τὸν ἀμπελῶνα ἐκδόμενος, ὁ μετὰ τὴν τῶν οἰκετῶν ἀναίρεσιν καὶ τὸν μονογενῆ αὐτοῦ υἱὸν ἀποστείλας, ὃν ἐκβαλόντες οἱ γεωργοὶ ἔξω τοῦ ἀμπελῶνος φονεύουσι. τίς δὲ ὑπῆρχεν ἐκεῖνος ὁ ἄνθρωπος ὁ τὸν μονογενῆ πέμψας; τίς δὲ ὁ ἔξω τοῦ ἀμπελῶνος φονευθεὶς υἱός; ὁ δὲ τοῦ υἱοῦ τοὺς γάμους ἐπιτελῶν οὐκ αὐτὸς ἀνθρωπικῶς ὑπὸ τοῦ λόγου διεσκευάσθη; εἰ δὲ χρὴ καὶ τοῦτο εἰπεῖν, ὅτι βοηθῶν τῇ ἀσθενείᾳ τῶν καταφρονούντων τῆς ὁμοιοειδοῦς αὐτοῖς φύσεως καὶ διὰ τοῦτο πιστεῦσαι αὐτοῦ τῇ θεότητι μὴ δυναμένων, ὡς ἂν μάλιστα τὸ χαῦνον τῆς διανοίας αὐτῶν τῷ φόβῳ συστείλας εἰς πίστιν τονώσειε, φησὶ τὸ παρὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου τοὺς ἀγγέλους ἐν τῇ κρίσει πέμπεσθαι, ἵν᾽ ἡ τῶν φοβερῶν προσδοκία τὴν πρὸς τὸ φαινόμενον αὐτῶν ἀπιστίαν θεραπεύσειεν. ἀλλὰ καὶ Ὄψεσθε, φησί, τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δόξης καὶ δυνάμεως πολλῆς. καὶ τοῦτο συνᾴδει τοῖς προαποδεδομένοις, εἴτε ἐκείνου τοῦ ἀνθρώπου τοῦ τὸν ἀμπελῶνα φυτεύσαντος καὶ τὸν γάμον τῷ υἱῷ ἐπιτελέσαντος εἴτε κατὰ τὴν προαποδοθεῖσαν διάνοιαν. καὶ ὅτι πάντῃ τῆς

11 Rom 9, 5 Matth 21, 33 16 Matth 22, 2 Matth 13, 41
25 Matth 24, 30

VG V^c F v l 2 τοῦ om VG 3 λόγον V 5-6 διαδραμοῦμαι V v 8-9 αὐτὸν ἰδιώμασι om VG 13 αὐτοῦ om V 15 δὲ ὑπῆρχεν om G 18 τοῦτο G v: τοῦ cet 29 υἱῷ: αὐτῷ VG

ταπεινῆς τοῦ Ἀπολιναρίου ὑπολήψεως ὁ λόγος ἀπήλλακται καὶ οὐδὲν σωματικὸν περὶ αὐτὸν ἐννοεῖν ὁ τοιοῦτος ὑποτίθεται λόγος, σαφὴς ἡ ἀπόδειξις ἐκ τοῦ προσκεῖσθαι τῷ λόγῳ τῷ τὴν ἐμφάνειαν αὐτοῦ τὴν ἐπὶ τέλει τῶν αἰώνων μηνύοντι, ὅτι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ ὀφθήσεται τῇ κτίσει ὁ κύριος, ὡς ἀνάγκην εἶναι διὰ τῶν εἰρημένων ἢ καὶ τὸν πατέρα νομίζειν ἀνθρωπικῶς διεσκευάσθαι, ἵνα ὁ κατὰ τὸ ἀνθρώπινον σχῆμα φαινόμενος υἱὸς ἐν τῇ τοῦ πατρὸς φαίνηται δόξῃ· ἢ εἴπερ καθαρεύει πάσης μορφῆς ἐν εἴδει θεωρουμένης ἡ τῆς πατρικῆς δόξης μεγαλοπρέπεια, μηδὲ αὐτὸν ἀνθρωπικῶς σχηματίζεσθαι τὸν ἐν τῇ τοῦ πατρὸς ὀφθήσεσθαι δόξῃ ἐπαγγελλόμενον. ἄλλη γὰρ δόξα ἀνθρώπου καὶ ἄλλη δόξα
1265 M. τοῦ ἐπὶ πάντων θεοῦ. ἀλλά, φησί, διὰ σαρκὸς διαλεγόμενος τοῖς ἀνθρώποις ὅτι Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ὢ τῆς ἀνοίας τὸ ἀπόδειξιν οἴεσθαι <τοῦ> ἀνθρωπικὴν αὐτοῦ μετὰ ταῦτα γενήσεσθαι τὴν ἐμφάνειαν τὸ εἰπεῖν διὰ σαρκὸς φθεγγόμενον τὸν κύριον ἓν εἶναι πρὸς τὸν πατέρα! οὐκοῦν διὰ τούτων πάντως κατασκευάζει τῷ λόγῳ τὸ ἀκριβῶς ἐν σαρκὶ καὶ τὸν πατέρα ζῆν; εἰ γὰρ ὁ εἰπὼν ἓν εἶναι ἑαυτὸν πρὸς τὸν πατέρα οὐ κατὰ τὸ πνευματικὸν ἀλλὰ κατὰ τὸ ἀνθρώπινον, καθὼς ὁ Ἀπολινάριος οἴεται, νοεῖν ὑποτίθεται τὴν ἑνότητα, ἄρα τοῦτό ἐστιν ὁ πατήρ, ὅπερ τότε κατὰ ἄνθρωπον ὁ υἱὸς ἑωρᾶτο. ἀλλὰ μὴν ἔξω πάσης σωματικῆς ἐννοίας τὸ θεῖον. ἄρα οὐ κατὰ τὸ ἀνθρώπινον σχῆμα ἡ τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἕνωσις ἦν, ἀλλὰ κατὰ τὴν κοινωνίαν τῆς θείας φύσεώς τε καὶ δυνάμεως. καὶ ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐκ τούτων ἂν γένοιτο μάλιστα δῆλον, ἐν οἷς φησι πρὸς τὸν Φίλιππον· Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. ἡ γὰρ ἀκριβὴς τῆς τοῦ υἱοῦ μεγαλειότητος κατανόησις καθάπερ ἐν εἰκόνι τὸ ἀρχέτυπον βλέπειν παρασκευάζει.

Τῶν δὲ ἐφεξῆς τὸ ἀσυνάρτητον καὶ ἀδιανόητον, ὡς ἂν

8 Matth 16, 27 14 Joh 10, 30 28 Joh 14, 9

VG VᶜF v l 6 διὰ om VG v ἢ: εἰ VG 7 νομίζει corr ex νομίζειν G 9 καθαρεύει corr ex καθαρεύῃ G, καθαρεύῃ V 15 τοῦ add Jaeger 16-17 τὸν κύριον φθεγγόμενον G 19 ἓν om VG

μὴ μάτην ἐμφιλοχωροίην τοῖς ματαίοις, ὑπερβήσομαι, δι' ὧν οὐδὲ ὅ τι βούλεται λέγειν φανερὸν ποιεῖ τοῖς ἐπιστατικῶς ἀκολουθοῦσι τῇ συγγραφῇ. τί γὰρ αὐτῷ συντελεῖ πρὸς τὸν λόγον τὸ Μηδένα ἁρπάζειν ἐκ τῆς χειρὸς αὐτοῦ τὰ δοθέντα αὐτῷ παρὰ τοῦ πατρὸς πρόβατα, συνιδεῖν οὐκ ἔχω· καὶ ὅτι πατρικῇ θεότητι ἕλκει πρὸς ἑαυτὸν τὰ πρόβατα· καὶ Εἰ πρὸς τὸν πατέρα, φησίν, ἥνωται Χριστὸς πρὸ ἀναστάσεως, πῶς πρὸς τὸν ἐν αὐτῷ θεὸν οὐχ ἥνωται; τοῦτο γὰρ ὥσπερ ἐξεπίτηδες αὐτὸς ἑαυτοῦ τὴν μυθοποιίαν ἐλέγχων παρεντίθησι ταῖς ἰδίαις κατασκευαῖς, δι' ὧν ἀποδείκνυται ἡ τοῦ ἀνθρώπου πρὸς τὸ θεῖον διαίρεσίς τε καὶ ἕνωσις. ὁ γὰρ εἰπὼν ὅτι Εἰ πρὸς τὸν πατέρα ἥνωται Χριστός, πῶς πρὸς τὸν ἐν αὐτῷ θεὸν οὐχ ἥνωται; οὕτω καὶ ὁ κατὰ Χριστὸν ἄνθρωπος ἕτερος ὢν τῷ ἐν αὐτῷ ἥνωται θεῷ. ταῦτα τοίνυν ὡς αὐτόθεν διὰ τῆς ἀναγνώσεως ἐλέγχοντα τὸ πεπλανημένον τοῦ δόγματος αὐτοῦ καὶ ἀσύστατον παραδραμοῦμαι τῷ λόγῳ· ἐκείνου δὲ μόνου ἐπιμνησθήσομαι· Ὁ σωτήρ, φησί, πέπονθε πεῖναν καὶ δίψαν καὶ κάματον καὶ ἀγωνίαν καὶ λύπην. τίς ὢν ὁ σωτήρ; θεός, φησὶν ἐν τοῖς πρὸ τούτου, οὐ δύο πρόσωπα ὡς ἑτέρου μὲν ὄντος θεοῦ, ἑτέρου δὲ τοῦ ἀνθρώπου. οὐκοῦν ὁ θεὸς πέπονθεν, ἅπερ παθεῖν αὐτὸν εἴρηκε, καὶ πάσχει τὸ ἀπαράδεκτον πάθους οὐκ ἀνάγκῃ φύσεως ἀβουλήτου, καθάπερ ἄνθρωπος, ἀλλ' ἀκολουθίᾳ φύσεως. ἆρα τίς ἐπαρκέσει διελέγχων τὰ μάταια; ἐν τίνι διαφέρειν βλέπει τὴν ἀνάγκην τῆς φύσεως καὶ τὴν ἀκολουθίαν τῆς φύσεως; ἡ γὰρ ἀλήθεια ταὐτὸν
1268 M. ἐν ἑκατέρῳ βλέπει τὸ σημαινόμενον, οἷόν τι λέγω, ἀκόλουθόν ἐστι τὸν μὴ ὑγιαίνοντα τὰς ὄψεις ἀσθενῶς ἔχειν περὶ τὴν ὅρασιν καὶ πάλιν τὸ αὐτὸ τοῦτό φημι, ὅτι ἀναγκαῖόν ἐστιν, εἰ μή τις ὑγιῶς ἔχοι τῶν ὄψεων, ἀσθενεῖν τοῦτον περὶ τὴν ὅρασιν. ἆρ' οὐ ταὐτὸν ἐν ἑκατέροις ἐστίν; ὅ τε γὰρ τὴν

4 Joh 10, 28

VG VᶜF v l 20 ante θεὸς add ὁ v 23 ante πάσχει add πῶς VᶜF l 28-29 verba βλέπει — ὑγιαίνοντα om F

ἀνάγκην εἰπὼν τὸ ἐξ ἀκολούθου συμβαῖνον ἐνέδειξεν· ὅ τε τοῦ ἀκολούθου μνησθεὶς τὸ ἀναγκαῖον ἐσήμανεν. τί οὖν βούλεται ἡ σοφία τοῦ λογογράφου μὴ ἀνάγκῃ φύσεως, ἀλλ' ἀκολουθίᾳ φύσεως τῷ σωτῆρι προσάπτειν τὰ πάθη τῆς φύσεως; Ἔδει, φησί, καθ' ὁμοιότητα τῶν ἀνθρώπων τὰ πάθη κινηθῆναι. ὁ τὸ ἔδει εἰπὼν οὐ φανερῶς τὴν ἀνάγκην ἐβόησεν; οὐχ αὕτη τῆς γραφῆς ἡ χρῆσίς ἐστιν; καὶ ἐξ αὐτῶν δὲ τῶν εὐαγγελίων πάρεστι τὰς ἀποδείξεις τοῦ λόγου λαβεῖν. Ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα· καὶ γὰρ δεῖ γενέσθαι ταῦτα. οὐχὶ μία ἑκατέρας ἐστὶ τῆς φωνῆς ἡ διάνοια; ὁ γὰρ εἰπὼν ἀνάγκην εἶναι ἐλθεῖν τὰ σκάνδαλα τὸ δεῖν ἐλθεῖν τὰ σκάνδαλα διὰ τῆς φωνῆς ἐνεδείξατο. καὶ ὁ εἰπὼν δεῖ γενέσθαι ταῦτα τὸ ἀναγκαίως ὀφεῖλον εἰς ἔργον ἐλθεῖν προεμήνυσεν.

Ἀλλὰ πάλιν καὶ τὸν ἐφεξῆς ὑπερβήσομαι ὕθλον χύδην καὶ ὡς ἔτυχεν ἐκ ματαίων λογισμῶν συμπεφορημένον. φησὶ δὲ πρὸς τῷ τέλει τοῦ λόγου ὅτι Καὶ ἐν οὐρανῷ ὄντος τοῦ σώματος μεθ' ἡμῶν ἐστι μέχρι τῆς συντελείας τοῦ αἰῶνος. τίς ὁ μεθ' ἡμῶν ὤν; σαφῶς ὁ λογογράφος μερίζων τὸ ἀμέριστον οὐ συνίησιν. εἰ γὰρ τὸ μὲν σῶμα τῷ οὐρανίῳ ἀποτίθεται, μεθ' ἡμῶν δὲ εἶναί φησι τὸν κύριον, φανερῶς διάζευξίν τινα καὶ μερισμὸν τῇ τοιαύτῃ τοῦ λόγου διαστολῇ κατεργάζεται. οὐ γὰρ εἶπεν, ὅτι τὸ σῶμα αὐτοῦ καὶ ἐν οὐρανῷ μένει καὶ μεθ' ἡμῶν ἐστιν, ἀλλὰ τοῦ σώματος ἐν οὐρανῷ ὄντος, ἡμῶν δὲ οὐκ ἐν οὐρανῷ ὄντων. ἄρα ἕτερόν τινα παρὰ τὸ ἐν οὐρανοῖς ὂν σῶμα μεθ' ἡμῶν τῶν ἐπὶ γῆς ὄντων πεπίστευκεν. ταῦτα τὰ ὑψηλὰ τοῦ Ἀπολιναρίου διδάγματα. ἡμεῖς δέ φαμεν, ὅτι ταῦτα εἰπὼν ἀνελήφθη καὶ ὁ ἀναληφθεὶς μεθ' ἡμῶν ἐστι καὶ μερισμὸς ἐν ἐκείνῳ οὐδείς· ἀλλ' ὥσπερ ἐν ἡμῖν ἐστιν ἑκάστῳ παρὼν καὶ

9 Matth 18, 7 Matth 24, 6

VG VᶜF v l 1 ἐνέδειξεν G¹ v: ἔδειξεν G² cet 4 τῷ σωτῆρι om VG 6 τὸ: τε VG v 7 οὐχ αὕτη: οὐκ αὐτὴ καὶ VᶜF 10 ἡ om v 11 ἀνάγκην v: ἀνάγκῃ libri 12 post δεῖ add γὰρ VᶜF 20 οὐρανῷ VᶜF v 24-25 verba ἡμῶν — ὄντων om VG 25 τινα corr ex τι G: τι V v 28 ὁ om VG 29 ᾧπερ VᶜF

ἐν μέσῳ γινόμενος, οὕτω καὶ ἐπὶ πάντα διήκει τὰ τῆς κτίσεως πέρατα, ὁμοτίμως πᾶσι τοῖς τοῦ κόσμου μέρεσιν ἐμφαινόμενος. εἰ ἡμῖν τοῖς σωματικοῖς ἀσωμάτως, οὐδὲ τοῖς ὑπερκοσμίοις ἐν σώματι. νυνὶ δέ φησιν οὕτως μερισθέντα τὸν κύριον ἀκαταλλήλως ἐν τοῖς ὑποχειρίοις διὰ τῶν ἐναντίων γίνεσθαι, τοῖς μὲν σαρκίνοις ἀσώματον, τοῖς δὲ ἀσωμάτοις ἐν σώματι. ἐν γὰρ τῷ οὐρανῷ καθιδρύσας τὴν σάρκα πνευματικῶς τοῖς 1269 M. ἀνθρώποις ἑαυτὸν καταμίγνυσιν. ὅσα δὲ ψυχορραγῶν πρὸς τῷ τέλει τοῦ λόγου ὥσπερ τισὶν ἄσθμασι τοῖς ἀνυποστάτοις νοήμασιν ἐνσυνέχεται, παραδραμεῖν οἶμαι δεῖν ἀνεξέταστα, ἐν οἷς στενοχωρούμενος τοὺς Ἕλληνας πρὸς συνηγορίαν τῶν ἰδίων μύθων καλεῖ καὶ ὅσα ἄλλα τούτοις ἐστὶ παραπλήσια. ὅτῳ φίλον τὴν διὰ πάντων τῆς αἱρέσεως ἀτονίαν κατανοῆσαι, αὐτοῖς ἐπεξίτω τοῖς γεγραμμένοις· ἡμῖν δὲ οὐ τοσαύτη σχολὴ ὥστε τοῖς τοιούτοις λόγοις ἐμβαθύνειν, ἃ πρόδηλον ἀφ᾽ ἑαυτῶν καὶ πρὸ τῆς ἐξετάσεως ἔχει τῆς ἀτοπίας τὸν ἔλεγχον.

VG VcF v l 1 γενόμενος v οὕτω: τούτῳ VcF 3 ante ἡμῖν add ἐν V VcF v ἀσωμάτως: ἀσώματος VcF 7 ἀσωμάτοις: ἀσωμάτως VcF 10 verba πρὸς — ἄσθμασι om VG 17 ἐφ᾽ VcF (cf Ad Ablab p 44, 7; 48, 9 et 10; alio autem sensu p 51, 7)

INDEX NOMINUM ET LOCORUM
(EXCEPTIS BIBLICIS ET RHETORICIS)

Ablabius monachus 37 (tit.); 37, 14
Achillius diaconus 71, 3; 80, 9
Aesopia fabula 4, 10
Alexandria 119, 2
Apolinarius 120, 12 et saepe in Antirrhetico
Apolinaristae 119 (tit.)
Arius 71 (tit.); 71, 3; 85, 19; 151, 7; 168, 13. 14; 170, 24. 26. 28; 171, 7; 213, 21
Epiphanius sophista 206, 28
Eunomius 151, 8; 174, 19; 180, 3; 205, 23; 206, 6. 22
Eustathius medicus 3 (tit.)
Graeci 19 (tit.); 136, 26; 216, 5; 233, 12
Graeci et Judaei 168, 28
Judaei 101, 17. 21
Macedoniani 89 (tit.)
Marcellus episcopus 138, 15
Manichaei 101, 22
Minotaurus 215, 5
Nicaea 142, 26; 143, 7; 157, 27
Paulus Samosatensis 138, 14; 142, 24; 143, 5
Photinus episcopus 138, 15
Pneumatomachi 89 (tit.)
Sabellius 5, 10; 71 (tit.); 71, 5; 76, 28; 85, 19
Sadducaei 113, 31
Simplicius tribunus 61 (tit.)
Theophilus episcopus Alexandriae 119 (tit.)

CORRIGENDA

In plagulis saepius corrigendis nonnulla tamen casu fatali recepta non sunt, quae hic notabo, non includo spiritus hic illic reversos.

p. 7, 28 lege 1 pro 10 et 2 pro 11; p. 48 app. pro 16 lege 17 et dele 17 alt; p. 51 app. lin. ult. post exc^2 adde δὲ pro τε A, post καὶ adde ante ἡ θεότης; p. 53, 4 ante μὴ adde τὸ, quod cod Est 249 habet; p. 62 app. post 7 et 8 dele M, ante θεὸν adde αὐτῶν M; p. 64, 25 pro οὐ lege οὐχὶ; p. 72 app. lin. 3 pro 31 lege 28; p. 94, 10 lege ἔνδοξον; p. 126 app. post 6 ἀνιάτρευτον adde Z, post 15 πρώην adde A; p. 128, 15 post εἰς adde τὴν; in app. pro 14 lege 15; p. 133 app. lin. ult. lege καὶ ἔστι καὶ λέγεται; p. 138 app. post 10 τὰ pro V lege V^c; p. 139 app. lin. ult. pro g lege G; p. 147 app. lin. ult. lege 147, 25; p. 161 app. lin. alt. ante VG adde, om; p. 165, 24 lege ἀνθρωπίνης; p. 190, 28 lege ἐντυγχάνοντας; p. 193, 3 tolle comma ante ἐξ; p. 199 app. pro 6 lege 7; p. 202 app. pro 2 lege 1; app. lin. ult. lege om G, αἱ om V^{c}F; p. 206 app. lin. 1 post 28 adde de; p. 218 app. post 15 αὐτὴ adde pr: ; p. 224 app. lin. ult. post ἡ adde alt.

KS-400-366